  εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψας ἀεσίφρονα θυμὸν
βούληαι χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπέα,
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.
οὐ γάρ πώ ποτε νηί γ' ἐπέπλων εὐρέα πόντον,
εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ ποτ' Ἀχαιοὶ
μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.

ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
Χαλκίδα τ' εἰς ἐπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ

637 *ἄφενον* superscr. *οσ* m^{2} F, *ἄφενον* G 639 *εἵσατο* Certamen 2 640 *θέρος* Eustathius Hom. 270, 38 *οὔποτ' ἐσθλῇ* CFGDΦ, unde *οὔ ποτε δ' ἐσθλῇ* alteram lectionem fuisse iudicat Paley 643 *ἐν* D 646 sq. altera recensio *τρέψας . . . βούληαι χρέα τε προφυγεῖν*, altera *τρέψῃς . . . βούληαι δὲ χρέα τε προφυγεῖν* habuisse videtur 646 *τρέψῃς* HKΦ 647 *βούληαι η* ex *ε* m^{2} rest. M, *βούλει* F (*ει* m^{2}) G, *βούλεαι* codd. cett. *δὲ χρέα τε* libri, *δὲ* expulit Spohn *ἀτερπέα* cod. Ambros. C 222 inf., *ἀτερπῆ* ΩΦ (*έα* m. rec. in ras. N), *ἀτερπῆν* D, *ἀτερπέα λιμόν* Ψb 649 '*σημειοῦται*' schol. 'Procli' *σεσοφημένος* C (*σεσοφιμένος* Tzetzae schol.) 654—662 suppositos iudicavit Plutarchus 655 *εἷς* Kirchhoff, *εἰς ἐπέρησα* H pars rec., *εἰσεπέρησα* codd. cett. 655 sq. *προπεφραδμέν' ἄεθλα* | *πόλλ'* Peppmüller

ἄεθλ' ἔθεσαν παῖδες μεγαλήτορος· ἔνθα μέ φημι
ὕμνῳ νικήσαντα φέρειν τρίποδ' οὐατόεντα.
τὸν μὲν ἐγὼ Μούσης Ἑλικωνιάδεσσ' ἀνέθηκα,
ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων·
ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο·
Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.

ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
ἐς τέλος ἐλθόντος θέρεος καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις οὔτ' ἄνδρας ἀποφθείσειε θάλασσα,
εἰ δὴ μὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλησιν ὀλέσσαι·
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε.
τῆμος δ' εὐκρινέες τ' αὖραι καὶ πόντος ἀπήμων·
εὔκηλος τότε νῆα θοὴν ἀνέμοισι πιθήσας
ἑλκέμεν ἐς πόντον φόρτον τ' ἐς πάντα τίθεσθαι,
σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον
καὶ χειμῶν' ἐπιόντα Νότοιό τε δεινὰς ἀήτας,
ὅς τ' ὤρινε θάλασσαν ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκεν.
ἄλλος δ' εἰαρινὸς πέλεται πλόος ἀνθρώποισιν·
ἦμος δὴ τὸ πρῶτον, ὅσον τ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανήῃ
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασσα·

656 ἄεθλ' Q, ἆθλ' codd. cett. (ἆ m² in ras. F), superscr. γρ. ἄεθλ' cod. Vindob. 242 μεραλήτορες Ψb 657 οὐατόεντα Nauck, ὠτώεντα libri 666 ἀποφθήσειε C, e corr. m¹ D, ἀποφθίσειε Ωb D m² ΨbΦ 670 ἀπήμων εὔκηλος· Moschopulus 672 τ' εὖ ΨbΦ, δ' εὖ (εὖ m² in ras. F) FG 680 πέταλον τόσον Nauck φανήῃ scripsi, φανείη codd.

εἰαρινὸς δ' οὗτος πέλεται πλόος. οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστίν,
ἁρπακτός· χαλεπῶς κε φύγοις κακόν· ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀιδρείῃσι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσιν.
δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν· ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσίν, ὡς ἀγορεύω.
μηδ' ἐν νηυσὶν ἅπαντα βίον κοΐλῃσι τίθεσθαι,
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.
δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι.
[δεινὸν δ' εἴ κ' ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας
ἄξονα κανάξαις καὶ φορτία μαυρωθείη.]
μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.

Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων
μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος·
ἡ δὲ γυνὴ τέτορ' ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.
παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.
τὴν δὲ μάλιστα γαμεῖν, ἥ τις σέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφιιδών, μὴ γείτοσι χάρματα γήμῃς.
οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληίζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχης· ἥ τ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα

682 ἀργαλέος Heyer 684 γε DENP, δὲ O, τε cod. Ambros. C 222 inf. 686 δὲ ψυχὴ schol. Arat. 299 688 ἐνὶ Nauck 689 ἐνὶ ΨbΦ 692 sq. proscripsit Lehrs 692 ἐφ' ἅμαξαν ΩbDM Φ praeter Q 693 τὰ δὲ ΩbΨbQ φορτία μαυρωθείη K, φορτί' ἀμαυρωθείη libri cett. 695 ἐπὶ ΩDΦ excepto Q 696 τριήκοντ' K, τριάκοντα EN 698 γαμείτω ENO, γαμείσθω P 699 ὥς τ' superscr. κ m[1] I, ἵνα 'Aristoteles' Oecon. I 4 Aristides II 41 D. 700 om. A Stobaeus LXX 8 cum Apostolio XIII 93 c 701 ἀμφιιδών Heyne, ἀμφὶς ἰδών codd. testes 704 δειπνολόχου Stobaeus LXIX 6 cum Apostolio XIII 51 o Et. Tittm. s. v.

εὗει ἄτερ δαλοῖο καὶ ὠμῷ γήραϊ δῶκεν.

[εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.]

μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς.
μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δὲ σέ γ' ἄρχῃ
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
δὶς τόσα τείνυσθαι μεμνημένος· εἰ δὲ σέ γ' αὖτις
ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται, σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.

μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον μηδ' ἐσθλῶν νεικεστῆρα.

μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.

γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος

---

705 αὔει Stobaeus δαλοῖο Stobaei codd. S(?)MA, δαλοῦ libri (cum A) testes cett. altera recensio: (δαλοῦ) καὶ ἐν ὠμῷ γήραϊ θῆκεν (cf. Hom. ο 357) A (ΚΑΙΕΝΩ⟨μῳ γηραϊ θη⟩-ΚΕΝ) Plutarchus Mor. 527 a Stobaeus cum Apostolio, ἐν omisso Φ Et. gen. cod. A 706 suspectus Lehrsio 708 πρότερον DΦ (ν in ς mut. m. rec. E, σ superscr. P) 709 σέ γ' ἄρχῃ A (σ⟩ΕΓ'ΑΡΧΗ) ΩΦ Et. gen. v. κασίγνητος, σέ γ' ἄρχει Ψ, κεν ἄρχῃ Et. Gud. s. v. 710 ἔπος γ' F, ἔπος τ' EN m[1] O 711 τίνυσθαι vel τίννυσθαι (τίννεσθαι EN) codd. σέ γ' αὖτις D, κεν αὖθις ΩΨbΦ Et. gen. Gud. 712 ἡγεῖτ' ἐς ΩDKLEOP, ἡγεῖται Et. gen. Gud. 713 ἄλλοτ' ἄλλον M Et. gen., ἄλλοτε τ' ἄλλον DENP 714 νόος C m[1] (ς in ν mut. m. rec.) D Et. gen. Gud. 716 νεικεστῆρα Ω Eustathius Hom. 798, 11, ΝΗΚΕΣΤΗ-⟨ρα A, νεικητῆρα ΨΦ schol. Pind. Pyth. IV 507 Et. gen. Gud. 718 τέτλα Plutarchus Mor. 23 f 719 μέγιστος Stobaeus III c. 35 s. 1 Tzetzae schol.

φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.

μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις, δαπάνη τ' ὀλιγίστη.

μηδέ ποτ' ἐξ ἠοῦς Διὶ λειβέμεν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισιν μηδ' ἄλλοις ἀθανάτοισιν·
οὐ γὰρ τοί γε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.

μηδ' ἄντ' ἠελίου τετραμμένος ὀρθὸς ὀμιχεῖν·
αὐτὰρ ἐπεί κε δύῃ, μεμνημένος, ἔς τ' ἀνιόντα·
μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς
μηδ' ἀπογυμνωθείς· μακάρων τοι νύκτες ἔασιν·
ἑζόμενος δ' ὅ γε θεῖος ἀνήρ, πεπνυμένα εἰδώς,
ἢ ὅ γε πρὸς τοῖχον πελάσας ἐυερκέος αὐλῆς.

μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθι οἴκου
ἱστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.

μηδ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.

---

720 φειδωλή Wachler 721 κακόν γ' KLM μείζον' Ω 722 δυσπέμφελον Athenaeus VIII 364 d 723 τε I Athenaeus schol. Hom. α 266 Eustathius Hom. 1412, 64 724 λειβέμεν Nauck, λείβειν codd. 726 γάρ θ' οἵ γε Φ praeter Q (γὰρ τοί m. rec. marg. N) 727 ἠελίοιο IKLQ Proclus Ioannes Doxop. Anecd. Ox. IV 167 Cr. τε>ΤΡΕΜΜΕΝΟϹ A 728 ἐπεί κε AΩD, ἐπήν κε ΨbΦ (κε om. O) ἀνιόντος ΨbΦ 730 ἀπογυμνωθῆς ΩbΨbΦ 731 ὄνθειος Hermann, οὐρήσει (vel -σετ') Peppmüller 733 πεπαλαγμένον (ν m. rec. in ς mut.) EP, α m. rec. superscr. O, πεπαλαγμένα N ἔνδοθι οἴκου Φ praeter Q, ἔνδοθεν A (εν>Δ<οθ>ΕΝ) ΩΨQ 734 ἑστίῃ IKΦ praeter Q Eustathius Macremb. IV 18 735 δυστήνοιο Plutarchus Mor. 562 a post 736 iterum legitur 758 in ΩΨΦ

μηδέ ποτ' αἰενάων ποταμῶν καλλίρροον ὕδωρ
ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα
χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ.
ὃς ποταμὸν διαβῇ κακότητ' ἰδὲ χεῖρας ἄνιπτος,
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἄλγεα δῶκαν ὀπίσσω.

μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.

μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθε
πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.

μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώξῃ λακέρυζα κορώνη.

μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
ἔσθειν μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔνι ποινή.

μηδ' ἐπ' ἀκινήτοισι καθιζέμεν, οὐ γὰρ ἄμεινον,
παῖδα δυωδεκαταῖον, ὅ τ' ἀνέρ' ἀνήνορα ποιεῖ,
μηδὲ δυωδεκάμηνον· ἴσον καὶ τοῦτο τέτυκται.
μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ

---

737 *αἰενάων* I, *ἀενάων* vel *ἀεννάων* codd. cett. 740 proscripsit Aristarchus *κακότητ' ἰδὲ* D, *κακότητ' ἴδε* quidam, *κ. ἔπι* alii scripserunt teste schol. 'Procli'; *κακότητι δὲ* Ω (C m[1]) ΨbΦ 741 *ἄλγε' ἔδωκαν* Peppmüller 746 *ἀνεπίρρεκτον* quidam legerunt (cf. schol. 'Procli' et Moschopuli) 747 *κρώξῃ* ACM (cf. Arat. 1002), *κρώζῃ* codd. fere cett. Orus *περὶ πολυσ. λέξ.* Reitzenstein Gesch. d. gr. Et. 344) Eustathius Macremb. V 16 Dexippus in Arist. Categ. 64 B. 748 *ἀφελόντα* 'Trypho' *περὶ τρόπ.* 4 Pollux X 99 749 *ἔπι* Steitz 750 *καθιζέμεν* Nauck, *καθίζειν* libri testes

ποινή. μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας
μωμεύειν ἀίδηλα· θεός νύ τι καὶ τὰ νεμεσσᾷ.
μηδέ ποτ' ἐν προχοῇς ποταμῶν ἅλαδε προρεόντων
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι·
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔ τοι λώιόν ἐστιν.

ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην.
φήμη γάρ τε κακὴ πέλεται, κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.

φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ μοῖραν
πεφραδέμεν δμώεσσι· τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν ἠδ' ἁρμαλιὴν δατέασθαι. 767

αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς πάρα μητιόεντος, 769
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσιν. 768

πρῶτον ἔνη, τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ,

---

756 *μωμαίνειν* Et. gen. s. v. *τι* AI (superscr. *τοι* m[1] I), *τοι* codd. cett. Et. gen. (*νύτα* cod. A) 757—759 proscripsit Plutarchus 757 *πρ*>ΟΧΟΗC A, *προχοῇ* ΩΨΦ Et. gen. v. *ἀποψύχειν* 758 *ἐξαλέεσθαι* Et. gen. 763 *οὔ τί γε* Aristoteles Eth. Nic. VII 14, *οὔτε γε* Heliodorus paraphr. Eth. Nic. p. 159 H. *λαοὶ* | *πολλοὶ* Demosthenes de fals. leg. 243 (bis) Aeschines *κατὰ Τιμάρχ.* 129 ~~de falsa~~ leg. 144 Aristoteles auctor orat. Corinth. ('Dio') XXVII 47 Moschopulus in Batrach. 12 764 *φημίξωσι* C schol. Procli Demosthenes et Aeschines utroque l. Aristides 'Dio'?, *φημίξουσι* ΩbIK Et. gen. (schol.) v. *ἀλεύω*, *φημίζουσι* DLMNOQ (m[1], in *ξ* mut. m. rec. Q) schol. Aeschyl. Agam. 929 Heliodorus Moschopulus in Batrach. *τις*] *τοι* IKM 767 *δατέεσθαι* cod. Paris. 2708 Vindob. 256 769. 768 sic disposuit Schoemann 770 *ἔνη*] *μὲν οὖν* Clementis Strom. V 14, 107 codex (L)

— τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ, —
ὀγδοάτη δ', ἐνάτη τε· δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι·
ἑνδεκάτη δὲ δυωδεκάτη τ', ἄμφω γε μὲν ἐσθλαί,
ἠμὲν ὄις πείκειν ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι·
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων·
τῇ γάρ τοι νῇ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε ἴδρις σωρὸν ἀμᾶται·
τῇ δ' ἱστὸν στήσαιτο γυνὴ προβάλοιτό τε ἔργον.

μηνὸς δ' ἱσταμένου τρεισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.

ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσιν,
ἀνδρογόνος δ' ἀγαθή· κούρῃ δ' οὐ σύμφορός ἐστιν,
οὔτε γενέσθαι πρῶτ' οὔτ' ἄρ γάμου ἀντιβολῆσαι.

οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃ γε γενέσθαι
ἄρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήιον ἤπιον ἦμαρ·
ἐσθλὴ δ' ἀνδρογόνος· φιλέοι δ' ὅ γε κέρτομα βάζειν
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους τ' ὀαρισμούς.

---

772 δ' AQ Et. Tittm. v. γέμεν, τ' codd. cett. 774 δὲ I, $\overline{\Delta}$Є (i. e. δέ et τε) A, δὲ superscr. τε m¹ C; τε codd. cett. 777 νῇ Cobet, νῇ quidam teste [Suida] v. νεῖν, νη Et. gen. v. νῆμα, νεῖ (ex νῇ corr. I) libri Eustathius Hom. 1166, 57 778 ὅτε ἴδρις cod. Laur. conv. suppr. 158, ὅ τε Ϝίδρις Bergk, ὅτε τ' ἴδρις CΨΦ Et. Tittm. s. v., ὅτ' ἴδρις Ωb 780 τρισκαιδεκάτην codd. 781 σπέρματα δάσσασθαι ΩKNO Et. Tittm. v. δάσασθαι 782 πέμπτη Pollux I 63 μάλα σύμφορος 'Proclus' 783 οὐ σύμφορος D, ἀσύμφορος codd. cett. 785 κούρῃ γε scripsi, κούρῃ τε AΩbDIMQ, κούρῃσι CON m¹ (κούρῃ τε m. rec. N), κούρῃσι τὲ KL 788 ΦΙΛΕΟΙΔ'ΟΓΕ A, φιλέοι δέ κε ΩNO, φιλέει δέ κε ΨQ κέρδεα Ω (τομα m. al. superscr. C) 789 θ'] Γ' A

μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.

εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἵστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστίν.
ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη, κούρῃ δέ τε τετρὰς
μέσση· τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν ἐπὶ χεῖρα τιθείς. πεφύλαξο δὲ θυμῷ
τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
ἄλγε' ἃ θυμοβορεῖ· μάλα γὰρ τετελεσμένον ἦμαρ.

ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.

πέμπτας δ' ἐξαλέασθαι, ἐπεὶ χαλεπαί τε καὶ αἰναί·
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν
Ὅρκον γεινόμενον, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.

μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπεύοντα ἐυτροχάλῳ ἐν ἀλωῇ
βαλλέμεν, ὑλοτόμον τε ταμεῖν θαλαμήια δοῦρα
νήιά τε ξύλα πολλά, τά τ' ἄρμενα νηυσὶ πέλονται.

---

793 om. A *γείνασθαι* Ψb, *γίνασθαι* DEO, *γίνεσθαι* Ω, e corr. N *πεπνυμένος* ΩKLEN *ἔσται* Doederlein 794 sqq. Plutarchum '*ἐσθλὴ δ' ἀνδρογόνος δεκάτη· πεφύλαξο δὲ θυμῷ*' legisse (ceteris omissis) e Procli scholio conclusit Goettling 796 *ἡμιόνους* EN 799 reiecit Steitz *ἄλγε' ἃ θυμοβορεῖ* scripsi, *ἄλγεα θυμοβορεῖν* (ΘΥΜΟΒΟΡ ... A) libri, *ἄλγεα θυμοβόρα* eiecto v. 798 Schoemann ΓΑΡ A, *τοι* ΩΨΦ 804 *γεινόμενον* C m[1] DMNO, ΓΙΝΟΜΕΝ<*ον* A, cf. Vergilius Georg. I 277 sq., *τιννυμένας* ΩbKQ 806 *ὀπιπεύοντα* cod Placent. 6, *ὀπιπτεύοντα* L, *ὀπιπτεύοντ'* K; *ὀπιπεύοντας* C, *ὀπιπτεύοντας* ΩbIMNQ, ς eraso O, ΟΠΙΠΕΥΟ ... A, *ὀπιπεύοντος* D 807 *βαλλέμεν* scripsi, *βάλλειν* (ΒΑ<λλε>ΙΝ A) codd.

τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς.

εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λώιον ἦμαρ,
πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισιν·
ἐσθλὴ μὲν γάρ θ' ἥ γε φυτευέμεν ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔ ποτε πάγκακον ἦμαρ.

παῦροι δ' αὖτε ἴσασι τρισεινάδα μηνὸς ἀρίστην
[ἄρξασθαί τε πίθου καὶ ἐπὶ ζυγὸν αὐχένι θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι,]
νῆα πολυκλήιδα θοὴν εἰς οἴνοπα πόντον
εἰρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσιν.

τετράδι δ' οἶγε πίθον· περὶ πάντων ἱερὸν ἦμαρ
μέσση· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
ἠοῦς γιγνομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.

αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ,
αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι.
ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δὲ ἴσασιν.

ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.

τάων εὐδαίμων τε καὶ ὄλβιος, ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισιν,
ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων.

---

812 *θ' ἥ γε* AM m^1 (*τ'ἠδὲ* superscr. m^2), *θ' ἧδε* DNO, *ἧδε* Ω, *τῆδε* IKLQ   815 sq. alteri recensioni tribuit Goettling   815 *ἐπὶ ζυγὸν αὐχένι* Hermann, *ἐπὶ ζ. αὐχένα* ΩΨΦ, *ὑπὸ ζυγὸν* (vel *ὑπόζυγον*) *αὐχένα* Grashof   817 *θοήν τ'* IKLQ   818 ЄΛΚЄΜ⟨ενα⟩Ι. A   820 *μεσσηῃ* (i. e. *μέσση*^{η} O), *μεσσήῃ·* N, *μεσσίῃ·* M, *μεσσήην* (i. e. *μέσση*^{ην}) CF, *μέσσην* G   *δ' αὖτε μετ' εἰκάδα* AΨbQ, *δέ τε μετεικάδα* D, *δὲ μετ' εἰκάδα* ΩNO   824 *τ'* (*τι* O) *ἴσασιν* ΩΨΦ, *τ'* expulit Lennep   828 'Procli' schol.: *τούτοις δὲ ἐπάγουσί τινες τὴν Ὀρνιθομαντείαν, ἅτινα Ἀπολλώνιος ὁ Ῥόδιος ἀθετεῖ*

ΑΣΠΙΣ

NOTAE LIBRORUM

P = papyrus Oxyrhynch. 689 saec. II exeuntis
A = papyrus Raineri archiducis Austriae, nunc bibl. caesareae Vindobonensis L. P. 21—29 saec. IV
(Q = papyrus musei Berolinensis 9774 saec. ut videtur I a. Chr. n.)

B = fragmentum (v. 75—298), quod extat in codice Parisino bibl. publicae ('nationalis') 'supplem. graec. 663' saec. XII
C = fragmentum alterum (v. 87—138), quod in eodem codice Parisino invenitur, saec. XII
D = cod. Mediolanensis bibl. Ambrosianae C 222 inf. saec. XIII
E = cod. Florentinus bibl. Laurentianae XXXII 16 saec. XIII (1281)

F = cod. Parisinus bibl. publicae ('nationalis') 2773 saec. XIV

G = cod. Parisinus bibl. publicae ('nationalis') 2772 saec. XIV
H = cod. Florentinus bibl. Laurentianae XXXI 32 saec. XV
I = cod. Londinensis Harleianus 5724 musei Britannici saec. XIV

K = cod. Romanus bibl. Casanatensis 356 saec. XIV
L = cod. Florentinus bibl. Laurentianae conv. suppress. 158 saec. XIV
M = cod. Parisinus bibl. publicae ('nationalis') 2833 saec. XV

Ex his adnumerandi sunt

classis Ω { generi a (Ωa) codices BCDF
generi b (Ωb) codices GHI }

classis Ψ { generi a (Ψa) codex E
generi b (Ψb) codices KLM }

Genus mixtum

N = cod. Venetus bibl. Marcianae IX 6 saec. XIV
O = cod. Parisinus bibl. publicae ('nationalis') 2708 saec. XV

recensio Triclinii: cod. Venetus bibl. Marcianae 464 saec. XIV (1316—1320)

ΥΠΟΘΕΣΕΙΣ

A

Τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ τετάρτῳ Καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ ς'. διὸ καὶ ὑπώπτευκεν Ἀριστοφάνης ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου, ἀλλ' ἑτέρου τινὸς τὴν Ὁμηρικὴν ἀσπίδα μιμήσασθαι προαιρουμένου. Μεγακλῆς ὁ Ἀθηναῖος γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ. ἄλογον γάρ φησι ποιεῖν ὅπλα Ἥφαιστον τοῖς τῆς μητρὸς ἐχθροῖς. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ τρίτῳ φησὶν αὐτοῦ εἶναι ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ πάλιν τὸν Ἰόλαον ἐν τῷ Καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα Ἡρακλεῖ. καὶ Στησίχορος δέ φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.

A 3 cf. schol. Vatic. Dionys. Thrac. prol. p. 124, 3 H. *ζητοῦμεν δὲ καὶ τὸν συγγραφέα, ἵνα τὸ ἀξιόπιστον ᾖ μὴ τοῦ συγγραφαμένου καταλάβωμεν· τοῦτο δὲ διὰ τὰ ψευδεπίγραφα τῶν βιβλίων, ὡς ἔχει ἡ Ἀσπὶς Ἡσιόδου· ἑτέρου γάρ ἐστιν, ἐπιγραφῇ δὲ καὶ ὀνόματι ἐχρήσατο τῆς Ἡσιόδου, ἵνα τῇ ἀξιοπιστίᾳ τοῦ ποιητοῦ ἀξία κριθῇ ἀναγνώσεως* v. praeterea schol. Dionys. Thrac. Prol. 3,31 H. comm. byz. in art. Dionys. Thrac. p. 568, 26 H. schol. Lond. Dionys. Thrac. p. 471, 35 H.

A argumenti partem priorem edidi e codd. DFGKLMNO 2 *ν' καὶ ς'* Petit, *ν̄ καὶ σ̄* GKLMN, *ν' καὶ σ'* O, *σ̄ν̄* D, *η̄ καὶ ̄ς* F *καὶ* om. D 4 *προαιρουμένου τὴν . . . μιμήσασθαι* KLM alteram argumenti partem exhibent GKNO, om. DFLM 6 *καὶ ἄλλως ἐπιτιμᾶται ἡσίοδος* KNO 9 *πάλιν* G, *πάλαι* KNO 10 *καὶ* om. K

B

Τάφιοι στρατεύσαντες ἐπὶ τὰς Ἠλεκτρύωνος βόας ἀνεῖλον τοὺς τῆς Ἀλκμήνης ἀδελφοὺς τῶν θρεμμάτων ὑπεραγωνιζομένους. τοῦ δὲ Ἀμφιτρύωνος αὐτῇ βουλομένου συνελθεῖν, αὔτη οὐ πρότερον ὑπέσχετο, πρὶν ἢ παρὰ τῶν ἀδελφοκτόνων εἰσπράξηται τιμωρίαν. ὁ δὲ ἐπιστρατεύσας ἀνεῖλεν αὐτούς. κατὰ δὲ τὴν αὐτὴν νύκτα ἀμφότεροι συνέρχονται αὐτῇ, ὅ τε Ζεὺς καὶ ὁ Ἀμφιτρύων, ὁ μὲν δὴ ἐκ τοῦ πολέμου ὑποστρέψας, Ζεὺς δὲ βουληθεὶς βοηθὸν ἀνθρώποις γεννῆσαι. ἡ δὲ κύει ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς καὶ ἐπὶ Κύκνον τὸν Ἄρεος υἱὸν ἡνίοχον ἔχων Ἰόλαον στρατεύεται, ὃς τοὺς εἰς Πυθὼ τὰς δεκάτας ἄγοντας περιεσύλα. σκεπασθεὶς οὖν ἡφαιστοτεύκτῳ ἀσπίδι πρόσεισιν εἰς Τραχῖνα πρὸς Κήυκα. συμβαλὼν δὲ τῷ Κύκνῳ αὐτὸν μὲν ἀναιρεῖ, τὸν δὲ Ἄρεα ὑπερασπίζοντα τοῦ υἱοῦ κατὰ τὸν μηρὸν τιτρώσκει· καὶ οὕτως ἔρχεται πρὸς Κήυκα. ἦν δὲ ὁ Κύκνος Κήυκος γαμβρὸς ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Γ

Οἱ Τάφιοι καὶ Τηλεβόαι εἰς ἔριν ἐλθόντες πρὸς τοὺς ἀδελφοὺς τῆς Ἀλκμήνης ἐφόνευσαν αὐτούς. αὐτὴ δὲ τὸν ἑαυτῆς γάμον ἐκήρυττε γαμεῖσθαι τῷ δυναμένῳ

B post priorem argumenti *A* partem legitur in DFGNO

4 *αὔτη*] *ἡ δὲ* DNO 5 *παρὰ* om. FNO, *περὶ* G 7 *ὁ Ζεὺς τὲ* D 11 *καὶ* om. FGO *ἄρεως* FO 12 *τὰς τοὺς εἰς πυθὼ* F, *εἰς πυθὼ τοὺς* D *δεκάτας* Boissonade, *δεκάδας* codd. 15 *Ἄρεα* D, *ἄρην* codd. cett. 16 *κατὰ μηρὸν* DNO 17 *γαμβρὸς κήυκος* FG, *γαμβρὸς ἐπὶ θυγατρὶ θεμιστονόῃ τοῦ κήυκος* NO

Γ legitur in cod. Veneto Marc. IX 23 (= V) saec. XV
3 *γαμεῖσθαι ἐκείνου* V

διεκδικῆσαι τὸν θάνατον τῶν ἑαυτῆς ἀδελφῶν. περιερχομένη οὖν ἐπὶ τούτῳ ἦλθε καὶ εἰς Θήβας, ὅπου ἐβασίλευσε τότε Ἀμφιτρύων. κἀκεῖνος ὑπέσχετο τοῦτο αὐτῇ. καὶ δὴ λαβὼν αὐτὴν γυναῖκα πρὶν συγγενέσθαι αὐτῇ ἐστράτευσε κατὰ τῶν Ταφίων. οὐ γὰρ εἴα αὐτὸν ἐκείνη μιχθῆναι αὐτῇ, πρὶν ἂν λάβῃ δίκην παρὰ τῶν ἀδελφοκτόνων. στρατεύσας οὖν κατ' ἐκείνων ἀνεῖλεν αὐτούς, ἐπανήξας δὲ νικητὴς συνεγένετο τῇ γυναικί. ὅτε δὴ καὶ Ζεὺς συνῆλθεν αὐτῇ, γεννᾷ οὖν ἐκ μὲν Ἀμφιτρύωνος Ἰφικλέα, ἐκ δὲ Διὸς Ἡρακλέα. ὃς δὴ εἰς Τραχῖνα πρὸς Κήυκα πορευόμενος ὁδοῦ πάρεργον Κύκνον τὸν Ἄρεως τοὺς εἰς Δελφοὺς τὰς δεκάτας κομίζοντας περισυλοῦντα φονεύει ἡνίοχον ἔχων Ἰόλαον τὸν ἀδελφιδοῦν ἡφαιστοτεύκτῳ τε ἀσπίδι σκεπασθεὶς καὶ τὴν Ἀθηνᾶν ἔχων συνεργόν. Ἄρην δὲ ὑπερασπίζοντα τοῦ υἱοῦ τιτρώσκει κατὰ τὸν μηρὸν οὕτω τῆς Ἀθηνᾶς συμβουλευσάσης. καὶ οὕτω πρὸς Κήυκα ἔρχεται ἔχων καὶ τὰ τοῦ Κύκνου ὅπλα. Κῆυξ δὲ Κύκνον ἐντίμως θάπτει. καὶ γὰρ ἦν ὁ Κύκνος γαμβρὸς αὐτῷ ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Δ

Ἀμφιτρύων καὶ Ἠλεκτρύων υἱοὶ Ἀλκαίου ἐγένοντο· τῷ δὲ Ἠλεκτρύωνι πρεσβυτέρῳ ὄντι τὴν ἡλικίαν ἀποθνήσκων ὁ Ἀλκαῖος ἐπέτρεψεν ἅπασαν τὴν ἑαυτοῦ οὐσίαν προστάξας, ἐπειδὰν ὁ ἀδελφὸς ἀνδρωθῇ Ἀμφιτρύων, ἀποδοῦναι τὴν καταλειφθεῖσαν μοῖραν τῆς περιουσίας. ἀνδρωθεὶς δὲ ὁ Ἀμφιτρύων καὶ ἀπαιτῶν παρὰ τοῦ Ἠλεκτρύωνος ἀδελφοῦ Τιρύνθου τότε βασιλεύον-

---

15 *δεκάτας* restitui, *δεκάδας* V 18 *δὲ* scripsi, *τὲ* V
Δ ex M edidi 6 *ἀπαιτῶν* in marg., *ζητῶν* in textu M
7 *τυρίνθου* M, *Τίρυνθος* Heinrich

τος τὸ ἐπιβάλλον αὐτῷ μέρος τῆς πατρικῆς οὐσίας ἐπεὶ οὐκ ἐλάμβανεν, ἀγνωμονοῦντος τοῦ ἀδελφοῦ πόλεμον ἐκίνησε κατ' αὐτοῦ καὶ προσκαλεσάμενος Ταφίους καὶ Τηλεβόας εἰς συμμαχίαν καὶ κρατήσας τοῦ ἀδελφοῦ, αὐτὸν μὲν ἀνεῖλε καὶ τοὺς υἱοὺς αὐτοῦ, τῆς δὲ θυγατρὸς Ἀλκμήνης ἐφείσατο. νόμου δὲ ὄντος τὸν κινήσαντα ἐμφύλιον πόλεμον ἐν ἀλλοτρίᾳ χώρᾳ τρία ἔτη καθαίρεσθαι ὁ μὲν Ἀμφιτρύων εἰς Θήβας ἀπῆλθε καθαρθῆναι. ἡ δὲ Ἀλκμήνη ζητοῦσα ἀμύνασθαι τοὺς Ταφίους καὶ Τηλεβόας ἕνεκα τοῦ φόνου τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν προὔθηκε γάμον ἑαυτῆς τῷ ποιήσοντι τὴν ἄμυναν. Ἀμφιτρύων δὲ ὁ πάτρως ἐρασθεὶς αὐτῆς ὑπέσχετο τὴν ἄμυναν ποιήσεσθαι κατ' ἐκείνων καὶ συνθεὶς τὸν γάμον ὤμοσεν ἦ μὴν μὴ πρὶν τῇ Ἀλκμήνῃ συνέσεσθαι, πρὶν ἂν τοὺς Ταφίους καὶ Τηλεβόας καταπολεμήσῃ. καὶ οὗτος μὲν συλλέξας στρατιὰν ἐστράτευσεν ἐπὶ τοὺς Ταφίους καὶ Τηλεβόας· Ζεὺς δὲ πολλῶν ὄντων ἐν τῷ τότε χρόνῳ βιαίων καὶ τυραννικῶν καὶ ἀδίκων ἀνθρώπων, ἐν οἷς καὶ Κύκνος ὁ τοῦ Ἄρεος ἦν, ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος περισυλῶν μὲν τὰς προσαγομένας δεκάτας τῷ θεῷ, φονεύων δὲ τοὺς προσάγοντας, βουλόμενος τοῖς ἀδικουμένοις παρ' ἑαυτοῦ βοηθόν τινα φῦναι συνεγένετο τῇ Ἀλκμήνῃ τρεῖς ὅλας συνεχεῖς νύκτας. καθ' ὃν χρόνον καὶ τοῦ Ἀμφιτρύωνος ἐκ τῆς νίκης ἐπανελθόντος καὶ τῇ Ἀλκμήνῃ συγκοιμηθέντος συνέλαβεν ἐκ μὲν Διὸς Ἡρακλέα, ἐκ δὲ Ἀμφιτρύωνος Ἴφικλον. εἰπόντος δὲ τοῦ Διὸς τοιάδε, τὸν γεννηθέντα ταύτῃ τῇ νυκτὶ ἔσεσθαι μακρῷ πάντων

20 κατ' ἐκείνων Boissonade, κατ' ἐκεῖνον M 22 τοὺς cf. argum. Δ 16, om. M 24 ἐπιταφίους M 34. 35 τὸν γεννηθέντα τοιᾶδε M, rest. Boissonade

ἀνδρειότερον καὶ βασιλεύσειν τῶν ἄλλων, ἡ δὲ Ἥρα ζηλοτυπήσασα προήγαγε μὲν τὰς τῆς Ἀλκμήνης ὠδῖνας, ἐπετάχυνε δὲ τὰς τῆς Ἀρχίππης. καὶ αὕτη μὲν ἐγέννησε τὸν Εὐρυσθέα ἑπτάμηνον, ᾧ ἤδη καὶ δέδοται βασιλεύειν κατὰ τὸ τοῦ Διὸς θέσπισμα. Ἀλκμήνη δὲ ἐγέννησε τὸν Ἡρακλέα δεκάμηνον. ὁ οὖν Ἡρακλῆς τῆς μὲν βασιλείας ἀπέτυχεν, ἀνδρειότατος δὲ γενόμενος περιιὼν ἀνῄρει πάντας τοὺς τυράννους· ἐν οἷς καὶ Κύκνον τὸν Ἄρεος λαβὼν μεθ' ἑαυτοῦ Ἰόλαον τὸν Ἰφίκλου συνεργὸν ἀνεῖλε σκεπασθεὶς ἡφαιστοτεύκτῳ ἀσπίδι, Ἄρεα δὲ τοῦ υἱοῦ ὑπερασπίζοντα κατὰ τὸν μηρὸν τιτρώσκει. ἔπειτα δὲ ἔρχεται πρὸς Κήυκα, οὗ γαμβρὸς ἦν ὁ Κύκνος ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Ἔλειος καὶ Μήστωρ ἀδελφοί, ἀπὸ Μήστορος Ἱπποθόη· ἣν λαβὼν Πτερέλας ὁ Τάφου τοῦ Τηλεβόου παῖδας ἔσχεν ἑπτά· Ἀντίοχον Χειροδάμαντα Χρομίον Τύραννον Μήστορα Τηλεβόαν Τάφιον.

E

Ἀμφιτρύων καὶ Ἠλεκτρύων υἱοὶ Ἀλκαίου· ἦν δὲ ὁ Ἠλεκτρύων ὁ γεραίτερος ἀδελφός. θνῄσκων δὲ ὁ Ἀλκαῖος ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἠλεκτρύωνα λέγων αὐτῷ· ἐὰν ἀνδρωθῇ ὁ ἀδελφός σου Ἀμφιτρύων, δὸς αὐτῷ τὴν περιουσίαν, ἥν σοι κατέλειψα χάριν αὐτοῦ. ἀποθανόντος δὲ ἐκείνου ἠνδρώθη μετὰ ταῦτα ὁ Ἀμφιτρύων

39 Εὐρυσθέα scripsi, εὐρυσθῆα M ἐδέδοτο? Goettling 48 θεμιστόνη M 49 καὶ ἱπποθόης M, correxi 51 χειριδάμαντα M

E post priorem argumenti A partem invenitur in KL (extrema etiam in F) 2 γεραίτερος? T. Mommsen, γηραιὸς codd. 3 ἐκέλευσε L

καὶ ἐζήτησε τὴν πατρικὴν δωρεάν. μὴ διδόντος δὲ τοῦ Ἠλεκτρύωνος, ὃς τῆς Τιρύνθου ἐβασίλευεν, ἐκινήθη κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἠλεκτρύωνος προσκαλεσάμενος Ταφίους καὶ Τηλεβόας, καὶ ἀνεῖλεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ, τὴν δὲ θυγατέρα αὐτοῦ Ἀλκμήνην ὡς γυναῖκα κατέλειψεν. ἦν δὲ νόμος τὸν ποιήσαντα ἐμφύλιον πόλεμον καθαίρεσθαι ὑπὸ ἄλλης χώρας χρόνους τρεῖς.' ποιήσας οὖν ὁ Ἀμφιτρύων ἐμφύλιον πόλεμον ἀπῆλθεν εἰς Θήβας καθαρθῆναι. ἡ δὲ Ἀλκμήνη περιπατοῦσα ἔλεγεν, ὅς τις ἂν εὑρεθῇ ἀμυνόμενος τὸν φόνον τῶν ἀδελφῶν καὶ τοῦ πατρὸς αὐτῆς, ἵνα λάβῃ αὐτὴν ὡς γυναῖκα· καὶ ἐλθοῦσα εἰς Θήβας εἶπεν οὕτως. ἀκούσας δὲ ὁ Ἀμφιτρύων εἶπεν ἐκδικητὴν γενέσθαι τοῦ φόνου. ἠράσθη γὰρ αὐτῆς ὡς ὡραίας· καὶ ἀνεψιὰ αὐτοῦ ἦν. ἐτέθη δὲ ὅρκος ἐν αὐτῷ μὴ μιγῆναι πρὶν ἢ θανατώσει τοὺς Ταφίους καὶ Τηλεβόας. καὶ ἀπελθὼν Ἀμφιτρύων ἐπολέμει αὐτούς. ἐμνήσθη οὖν ὁ Ζεὺς καὶ ἠθέλησε ποιῆσαι βοηθὸν θεῶν καὶ ἀνθρώπων, διότι ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος ἦν τις Κύκνος περισυλῶν τὰς δεκάτας τὰς τῷ Ἀπόλλωνι προσαγομένας καὶ φονεύων καὶ τοὺς προσαγομένους, υἱὸς Ἄρεος ὑπερασπίζοντος αὐτοῦ. καὶ συνῆλθεν ἐπὶ τρισὶ νυξὶ τῇ Ἀλκμήνῃ· καὶ συνέλαβε τὸν Ἡρακλέα. ἐλθόντος δὲ τοῦ Ἀμφιτρύωνος ἀπὸ τοῦ φόνου τῶν Ταφίων καὶ Τηλεβοῶν συνευνάσθη τῇ Ἀλκμήνῃ· καὶ συνέλαβε τὸν Ἴφικλον. ἐγέννησεν οὖν δύο παῖδας, τὸν μὲν Ἡρακλέα ἀνδρεῖον καὶ μεγαλόφρονα, τὸν δὲ Ἴφικλον μωρὸν καὶ ἄνανδρον. λέγεται δὲ τὸν Δία τῇ Ἀλκμήνῃ ⟨συνελ-

---

8 ἐβασίλευσεν L 13 ἀπὸ K 13. 14 τρεῖς χρόνους L 14 πόλεμον K, φόνον L 26 δεκάδας K 34 ⟨συνελθόντα⟩ addidi, om. KL

θόντα⟩ ἀνελθεῖν εἰς τὸν οὐρανὸν καὶ εἰπεῖν, ὅτι ὃς γεννηθῇ ἐν ταύτῃ τῇ νυκτί, ἔσται φρόνιμος ἀνδρεῖος πλούσιος καὶ βασιλεύς. ζηλοτυπήσασα δὲ ἡ Ἥρα ἔκλεισε τὰς ὠδῖνας τῆς Ἀλκμήνης, τῆς δὲ Ἀρχίππης ἀνέῳξε. καὶ ἐγέννησεν Ἀρχίππη τὸν Εὐρυσθέα ἑπτάμηνον· καὶ ἐδόθη ἐκείνῳ τὸ εἶναι βασιλεὺς καὶ πλούσιος. γεννηθεὶς δὲ ὕστερος ὁ Ἡρακλῆς ἐκτήσατο τὸ ἀνδρεῖος εἶναι καὶ φρόνιμος. κινηθεὶς οὖν Διὸς βουλῇ — διὰ τοῦτο γοῦν συνῆλθε Ζεὺς τῇ Ἀλκμήνῃ — ἀπῆλθε πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος, ἔνθα οὖν καὶ ὁ Κύκνος ᾤκει, λαβὼν μετ' αὐτοῦ καὶ τὸν Ἰόλαον τὸν Ἰφίκλου υἱὸν συνεργὸν τῆς κατ' αὐτοῦ μάχης. καὶ ἀπελθὼν ἀπέκτεινεν αὐτὸν σκεπασθεὶς ἡφαιστοτεύκτῳ ἀσπίδι, τὸν δὲ Ἄρην ὑπερασπίζοντα τοῦ υἱοῦ κατὰ μηρὸν τιτρώσκει. καὶ οὕτως ἔρχεται πρὸς Κήυκα. ἦν δὲ ὁ Κύκνος γαμβρὸς τοῦ Κήυκος ἐπὶ θυγατρὶ Θεμιστονόῃ.

Ἔλειος καὶ Μήστωρ ἀδελφοί, ἀπὸ Μήστορος Ἱπποθόη· ἣν λαβὼν Πτερέλας ὁ Τάφου τοῦ Τηλεβόου παῖδας ἔσχεν ἑπτά· εἰσὶ δὲ οὗτοι· Ἀντίοχος Χειροδάμας Χρομίος Τύραννος Μήστωρ Τηλεβόας Τάφιος.

---

41 ὕστερον K 44 ἔνθα ἦν ὁ κύκνος καὶ ὤκει K 50 τοῦ om. L θεμιστόνη KL 51 καὶ ἱπποθόης L 52 ὁ Πτερέλας KL, ὁ om. F 53 ἴσχει F

Ἢ οἵη προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν
ἤλυθεν ἐς Θήβας μετ' ἀρήιον Ἀμφιτρύωνα
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος·
ἥ ῥα γυναικῶν φῦλον ἐκαίνυτο θηλυτεράων
εἴδεΐ τε μεγέθει τε· νόον γε μὲν οὔ τις ἔριζε
τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι.
τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κυανεάων
τοῖον ἄηθ' οἷόν τε πολυχρύσου Ἀφροδίτης.
ἣ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τίεσκεν ἀκοίτην,
ὡς οὔ πώ τις ἔτισε γυναικῶν θηλυτεράων·
ἦ μέν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανε ἶφι δαμάσσας,
χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅ γε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
ἔνθ' ὅ γε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου, οὐδέ οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι ἐυσφύρου Ἠλεκτρυώνης,

1—56 cf. Hypothesis *A* 1 et Fragm. 136; Hesiodi imitatori cuidam v. tribuit Leo 7 sq. suspecti Wolfio 7 ΚΥΑΝΕ[ΑΩ] A, *κυανεάων* schol. Hom. Ven. B Townl. *T* 1 Apollonius Lex. Hom. v. *ἑά* Eustathius Hom. 1363, 55; *κυανέων* Ω Et. gen. v. *ἀπὸ κυανέων*; *κυανεώντων* EK, *κυανεόντων* LM, *κυανοέντων* Nauck 12 ΒΟΥCΙΝ A 13 ΦΕΡ⟨ε⟩CΑΚΕ⟨*ας* A, *φερεσακέας* GH 14 *παρ*⟩ΑΚΟΙΤΗΙ A 15 *ου*⟩ΔΕΟΙ A, *οὐ γάρ οἱ* ΩΨ

πρίν γε φόνον τείσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.
τὼς γάρ οἱ διέκειτο, θεοὶ δ' ἐπὶ μάρτυροι ἦσαν·
τῶν ὅ γ' ὀπίζετο μῆνιν, ἐπείγετο δ' ὅττι τάχιστα
ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
τῷ δ' ἅμα ἱέμενοι πολέμοιό τε φυλόπιδός τε
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι
ἕσποντ'· ἦρχε δὲ τοῖσιν ἐὺς πάις Ἀλκαίοιο
κυδιόων λαοῖσι. πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσίν, ὥς ῥα θεοῖσιν
ἀνδράσι τ' ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεύσαι.
ὦρτο δ' ἀπ' Οὐλύμποιο δόλον φρεσὶ βυσσοδομεύων,
ἱμείρων φιλότητος ἐυζώνοιο γυναικός,
ἐννύχιος· τάχα δ' ἷξε Τυφαόνιον· τόθεν αὖτις
Φίκιον ἀκρότατον προσεβήσατο μητίετα Ζεύς.
ἔνθα καθεζόμενος φρεσὶ μήδετο θέσκελα ἔργα·
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρου Ἠλεκτρυώνης
εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δ' ἄρ' ἐέλδωρ·
αὐτῇ δ' Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως,
ἐκτελέσας μέγα ἔργον ἀφίκετο ὅνδε δόμονδε.
οὐδ' ὅ γ' ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας

---

17 *τίσαιτο* codd. 18 *πυρὶ καταφλέξαι* ΩaΨ (corr. m[1] E) 20 ΤΩC A, *ὥς* ΩΨ *ἐπὶ μάρτυροι* DEIK, ЄΠΙΜΑΡΤΥΡΟΙ A, *ἐπιμάρτυροι* codd. cett. 24 *πληξι*>ΠΠΟ<ι>CAKEΩN (?) ΚΑΔ-ΜЄΙΟΝЄC (glossema irrepsit) A *ἐπὶ* KL 25 *ἀγχίμαχοι* Ψ 27 *δ'* om. Et. gen. v. *βυσσοδομεύων* cod. A 28 (ω)CPA in ΟΦΡΑ mut. A, *ὅς ῥα* Et. gen. (cod. A), *ὄφρα* Ψb 29 *φυτεῦσαι* ΩK schol. 30 *πολλὰ φρεσὶ* Et. gen. cod. B 32 *αὖθις* G 35 *τανυσφύρῳ ἠλεκτρυώνῃ* FΩb 39 sqq. duplicem recensionem (v. 39—41 et 42—45) statuit Wilamowitz

ὦρτ' ἰέναι, πρίν γ' ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς·
τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.

ὡς δ' ὅτ' ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα
νούσου ὕπ' ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
ὥς ῥα τότ' Ἀμφιτρύων χαλεπὸν πόνον ἐκτολυπεύσας
ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανεν.

παννύχιος δ' ἄρ' ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι
τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.
ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐν ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
οὐ καθ' ὁμὰ φρονέοντε· κασιγνήτω γε μὲν ἤστην·
τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην·
τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέι Κρονίωνι,
τὸν δ' ἄρα Ἰφικλῆα δορυσσόῳ Ἀμφιτρύωνι,

κεκριμένην γενεήν· τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα,
τὸν δὲ Διὶ Κρονίωνι, θεῶν σημάντορι πάντων.

Ὃς καὶ Κύκνον ἔπεφνεν, Ἀρητιάδην μεγάθυμον.
εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου Ἀπόλλωνος
αὐτὸν καὶ πατέρα ὃν Ἄρην, ἄατον πολέμοιο,
τεύχεσι λαμπομένους σέλας ὣς πυρὸς αἰθομένοιο,

42—45 ante 39 collocavit Kinkel 45 *ἀσπάσιός τε φίλος τε* Wilamowitz *φιλίως* Ψb 49 *διδυμάον' ἐγείνατο* FΩb 50 *οὐ κάθομα* Lennep, cf. ⟨ο⟩ΥΚΑΘΟΜΑΦΡΟΝΕΟΝΤΕϹ papyr. paraphr. Iliad. Herm. XXII 636; *οὐκέθ' ὁμὰ* codd. 54 *τὸν δ' ἄρα* scripsi, *αὐτὰρ* libri, *τὸν δ' αὖτ'* vel *αὖ* Peppmüller *λαοσσόῳ* Ψb 55 sq. a carminis compositore adsutos esse censet Wilamowitz 59 *πατέρ' ὃν* D *Ἄρην* D, *ἄρη* F, *ἄρη'* codd. cett. *ἄατον* D, *ἆτον* libri cett.

ἑσταότ' ἐν δίφρῳ· χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι
νύσσοντες χηλῇσι, κόνις δέ σφ' ἀμφιδεδήει
κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον
ἵππων ἱεμένων· κεχάρητο δὲ Κύκνος ἀμύμων,
ἐλπόμενος Διὸς υἱὸν ἀρήιον ἡνίοχόν τε
χαλκῷ δηιώσειν καὶ ἀπὸ κλυτὰ τεύχεα δύσειν.
ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων·
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην Ἡρακληείην.
πᾶν δ' ἄλσος καὶ βωμὸς Ἀπόλλωνος Παγασαίου
λάμπεν ὑπὸ δεινοῖο θεοῦ τευχέων τε καὶ αὐτοῦ·
πῦρ δ' ὣς ὀφθαλμῶν ἀπελάμπετο. τίς κεν ἐκείνου
ἔτλη θνητὸς ἐὼν κατεναντίον ὁρμηθῆναι
πλήν γ' Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου;
[κείνων γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.]
ὅς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον·

ἥρως ὦ Ἰόλαε, βροτῶν πολὺ φίλτατε πάντων,
ἦ τε μέγ' ἀθανάτους μάκαρας, τοὶ Ὄλυμπον ἔχουσιν,
ἤλιτεν Ἀμφιτρύων, ὅτ' ἐυστέφανον ποτὶ Θήβην
ἦλθε λιπὼν Τίρυνθον, ἐυκτίμενον πτολίεθρον,
κτείνας Ἠλεκτρύωνα βοῶν ἕνεκ' εὐρυμετώπων·
ἵκετο δ' ἐς Κρείοντα καὶ Ἡνιόχην τανύπεπλον,
οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,

---

61 *ἑσταῶτ'* Ωb *ἐνὶ* ΩbE 71 *ὑπὸ* H, *ὑπαὶ* codd. cett. 72 *ἐκείνου* D, *ἐκείνω* Ψ, *ἐκείνῳ* G, *ἐκεῖνω* F, *ἐκείνων* HI 74 *πλήν γ'* Ωa, *πλὴν* Ψ, *πρίν γ'* Ωb 75 sq. eiecit Paley 75 *κείνω* E (*κείνῳ* Hermann) 79 *τε* Peppmüller, *τι* (*τοι* IM) codd. *μέγ'* ex *μετ'* m¹ rest. L, *μετ'* vel *μέτ'* codd. cett. 81 *τήρυνθον* B, *τίρυνθ'* Ωb, *τίρυνθα* (*α* ex *ον* m²) L, *τίρυνθα* M, *Τίρυνθος* Winterton 84 *ἅρμενα* DG, *ἅρμετα* L, *ἅρματα* K

ἧ δίκη ἔσθ' ἱκέτησι, τίον δέ ἑ κηρόθι μᾶλλον.
ζῶε δ' ἀγαλλόμενος σὺν ἐυσφύρῳ Ἠλεκτρυώνῃ,
ᾗ ἀλόχῳ· τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ' οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα,
σός τε πατὴρ καὶ ἐγώ· τοῦ μὲν φρένας ἐξέλετο Ζεύς,
ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας
ᾤχετο, τιμήσων ἀλιτήμενον Εὐρυσθῆα,
σχέτλιος· ἦ που πολλὰ μετεστεναχίζετ' ὀπίσσω
ἣν ἀάτην ὀχέων· ἡ δ' οὐ παλινάγρετός ἐστιν.
αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ' ἀέθλους.
ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ' ἡνία φοινικόεντα
ἵππων ὠκυπόδων· μέγα δὲ φρεσὶ θάρσος ἀέξων
ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων,
μηδὲν ὑποδδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος·
ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄαται πολέμοιο.
τὸν δ' αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος·
ἠθεῖ', ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος Ἐννοσίγαιος,
ὃς Θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα·
οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
σὰς ἐς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.

---

85 η B ἱκέτῃ (quod habet cod. colleg. Emman. Cantabr.), τῖον? Ranke δέ ἑ Ranke, δέ γε Ωb (γε om H.), δ' ἄρα libri cett. schol. Monac. 87 ἄμμες (ἄμμε Guyet) περιπλομένων M 89 φρένα B 91 ἀλιτήμηνον εὐρυσθέα Ωb, Εὐρυσθῆ' ἠλιτόμηνον Bentley 92 μετεστεναχίζετ' C, μεταστοναχίζετ' M, μετεστοναχίζετ' (sim.) codd. cett. 93 ἀάτην scripsi, ἄτην (ἄταν Ψb) libri Stobaeus III c. 4 s. 35 ὀχέων Ωa, ἀχέων codd. cett. Stobaeus 97 θοὸς BC 99 ὃς καὶ νῦν BCE 101 ἄεται E 103 ἠθεῖ' EF, ἠθεῖε codd. cett. 104 ἐνοσίγαιος BCM, ἐνοσίγεος GH (in ἐννοσίγαιος m² mut. G) 105 πόληας Ψ 107 εἰς codd.

ἀλλ' ἄγε δύσεο τεύχε' ἀρήια, ὄφρα τάχιστα
δίφρους ἐμπελάσαντες Ἄρηός θ' ἡμέτερόν τε
μαρνώμεσθ', ἐπεὶ οὔ τοι ἀτάρβητον Διὸς υἱὸν
οὐδ' Ἰφικλεΐδην δειδίξεται, ἀλλά μιν οἴω
φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκεΐδαο,
οἳ δή σφι σχεδόν εἰσι, λιλαιόμενοι πολέμοιο
φυλόπιδα στῆσαι, τά σφιν πολὺ φίλτερα θοίνης.

ὣς φάτο· μείδησεν δὲ βίη Ἡρακληείη
θυμῷ γηθήσας· μάλα γάρ νύ οἱ ἄρμενα εἶπεν·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·

ἥρως ὦ Ἰόλαε, διοτρεφές, οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα· σὺ δ' ὡς πάρος ἦσθα δαΐφρων,
ὣς καὶ νῦν μέγαν ἵππον Ἀρίονα κυανοχαίτην
πάντη ἀναστρωφᾶν καὶ ἀρηγέμεν, ὥς κε δύνηαι.

ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,
Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκεν·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνε
καλὸν χρύσειον πολυδαίδαλον, ὅν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὁππότ' ἔμελλε
τὸ πρῶτον στονόεντας ἐφορμήσεσθαι ἀέθλους.
θήκατο δ' ἀμφ' ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
δεινὸς ἀνήρ· κοίλην δὲ περὶ στήθεσσι φαρέτρην

---

108 *ἀλλά γε* GHKL 110 *μαρνώμεθ'* BCΩb 111 *οὐ Ϝιφικλείδην* Bentley 112 *φεύξασθαι* Ψ praeter M *δύο* om. B, *δύω* C 113 *πτολέμοιο* (e corr.) E 114 spurium iudicat Paley *στῆσαι* Stahl, *στήσειν* codd. *φέρτερα* ex Hom. ΩbΨ (praeter M) 116 *νύ οἱ* DF (*νύοι* F), *νυ* GH, *οἱ* IΨ, ꝯ C, ꝯ B (*τέ οἱ* alteram lectionem fuisse censet Peppmüller) *ἁρμενα* B, *ᾅρμενα* DFH 120 *Ἀρίονα* F schol. paraphr., *αρήονα* B, *ἀρείονα* codd. cett. 121 *γε* Ψb 122 *ὀριχάλκοιο* Et. gen. cod. uterque 125 *πολυδαιδάλεον* BCLM *ὅν οἱ* E, *ὅν ρ' οἱ* (sim.) libri cett. 127 *ἐφορμήσασθαι* DΨ 129 *κοίλην* codd.

καββάλετ' ἐξόπιθεν· πολλοὶ δ' ἔντοσθεν ὀιστοὶ
ῥιγηλοί, θανάτοιο λαθιφθόγγοιο δοτῆρες.
πρόσθεν μὲν θάνατόν τ' εἶχον καὶ δάκρυσι μῦρον,
μέσσοι δὲ ξεστοί, περιμήκεες, αὐτὰρ ὄπισθε
μόρφνοιο φλεγύαο καλυπτόμενοι πτερύγεσσιν.
εἵλετο δ' ὄβριμον ἔγχος, ἀκαχμένον αἴθοπι χαλκῷ,
κρατὶ δ' ἔπ' ἰφθίμῳ κυνέην ἐύτυκτον ἔθηκε,
δαιδαλέην ἀδάμαντος, ἐπὶ κροτάφοις ἀραρυῖαν,
ἥ τ' εἴρυτο κάρη Ἡρακλῆος θείοιο.
  χερσί γε μὴν σάκος εἷλε παναίολον, οὐδέ τις αὐτὸ
οὔτ' ἔρρηξε βαλὼν οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ λευκῷ τ' ἐλέφαντι
ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην χρυσῷ τε φαεινῷ
λαμπόμενον, κυάνου δὲ διὰ πτύχες ἠλήλαντο.
ἐν μέσσῳ δ' ἀδάμαντος ἔην Φόβος οὔ τι φατειός,
ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς·
τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων,
δεινῶν ἀπλήτων, ἐπὶ δὲ βλοσυροῖο μετώπου
δεινὴ Ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν,
σχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρένας εἵλετο φωτῶν,
οἵ τινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν.

---

130 κάμβάλετ' B, καμβάλετ' C, κάμβαλεν F, κάμβαλε δ' H ἐξόπισθεν ΩbM 131 λαθηφθόγγοιο Ψ, λαθοφθόγγοιο BC 134 μόρφνοιο DF, μορφνοῖο libri cett. Et. mag. v. φλεγύας 135 εἵλετο δ' ex Hom. O 482 Hermann, ἦσαν· ὁ δ' (ἰδ' E) libri ὄμβριμον BCEGHK ἀκάχμενον CI, ἀκάχμιον GH αἴθοπι χαλκῷ Ωa (praeter F) Ψ (excepto M), εἵλετο χαλκῷ F, εἵλετο θυμῷ ΩbM 136 ἐύτυκτον BCHM, εὔτυκτον codd. cett. 138 ἤρυτο Ψb κάρην FΩb (κάρην' I) 139 γε om. M, δὲ Ωb μὲν BΨ 141 λευκῇ Ωb 142 ὑπερλαμπὲς Ψ 143 κυανοῦ BΩb, κυανῷ F 144 δ' ἀδάμαντος schol. Monac., cf. Ranke Hes. Scut. 178 Studniczka Serta Hartel. 60; δὲ δράκοντος ... φόβος (altera recensio) libri Ioannes Pediasimus schol. paraphr. 147 προσώπου DΩb

[τῶν καὶ ψυχαὶ μὲν χθόνα δύμεναι Ἄιδος εἴσω
†αὐτῶν, ὀστέα δέ σφι περὶ ῥινοῖο σαπείσης
Σειρίου ἀζαλέοιο μελαίνῃ πύθεται αἴῃ.]

ἐν δὲ προΐωξίς τε παλίωξίς τε τέτυκτο,
ἐν δ' ὅμαδός τε φόβος τ' ἀνδροκτασίη τε δεδήει,
ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ Κὴρ
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν.
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν,
δεινὸν δερκομένη καναχῇσί τε βεβρυχυῖα.

ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν, οὔ τι φατειῶν,
δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
οἵ τινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν·
τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν, εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης, τὰ δ' ἐδαίετο θαυματὰ ἔργα.
στίγματα δ' ὣς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσιν·
κυάνεοι κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.

151—153 eiecit Lehrs 151 *δύμεναι* DΩb, *δύνουσ'* BE, *δύνουσιν* Ψb, *δύουσ'* F, cf. quae dixi Herm. XXXIII 598 151 † *αὐτῶν* verbi finiti loco invectum esse vidit Kinkel *περὶ ῥινοῖο* superscr. ρ E, *περιρρινοῖο* F 153 *κελαινῇ* Ψ 154—160 Welckero suspectos reiecit Furtwängler 155 *φόβος* Ω (praeter B), *φόνος* BΨ 156—159 (= Hom. Σ 535—538) suspecti Schlichtegrollio al. 156 *ὁμίλεον* Hom. Σ 535 158 *τεθνειῶτα* DFΨ 159 *δαφοίνεον* BDΨ 160 *βεβρυχυῖα* NO, *βεβριθυῖα* (ex Hom. Φ 385) ΩΨ 161—167 interpolatori tribuerunt Rhode et Künneth 162 *ταὶ βόσκονται* in textu, *γρ. ταὶ φοβέεσκον* in marg. E 163 eiecit Paley 165 *τὰ δὲ* (*τ' ἅδε* B) *δαίετο* BDF, *τε γε δαίετο* in *τάδ' ἐδαίετο* mut. E, *τ' ἐδαίετο* Ψb *θαῦματα* B, *θαυματὰ* schol. Pind. Ol. I 43, *θαυμαστὰ* (in *θαυμάσια* mut. E) Ω praeter B Ψ 167 *κυανέοιο* B, *κυάνεα* FΩb

ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν ἠδὲ λεόντων
ἐς σφέας δερκομένων, κοτεόντων θ' ἱεμένων τε.
τῶν καὶ ὁμιληδὸν στίχες ἤισαν· οὐδέ νυ τώ γε
οὐδέτεροι τρεέτην· φρῖσσόν γε μὲν αὐχένας ἄμφω.
ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
δοιοί, ἀπουράμενοι ψυχάς, κατὰ δέ σφι κελαινὸν
αἷμ' ἀπελείβετ' ἔραζ'· οἳ δ' αὐχένας ἐξεριπόντες
κείατο τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσιν.
τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην, κοτέοντε μάχεσθαι,
ἀμφότεροι, χλοῦναί τε σύες χαροποί τε λέοντες.
ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων
Καινέα τ' ἀμφὶ ἄνακτα Δρύαντά τε Πειρίθοόν τε
Ὁπλέα τ' Ἐξάδιόν τε Φάληρόν τε Πρόλοχόν τε
Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ' Αἰγεΐδην, ἐπιείκελον ἀθανάτοισιν·
ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
ἀμφὶ μέγαν Πετραῖον ἰδ' Ἄσβολον οἰωνιστὴν
Ἄρκτον τ' Οὔρειόν τε μελαγχαίτην τε Μίμαντα
καὶ δύο Πευκεΐδας, Περιμήδεά τε Δρύαλόν τε,

168—177 duplicem recensionem statuit Peppmüller 169 τ' ἱεμένων BΨ, om. τ' D, τ' ἱεμένων H 170 ἴεσαν D, ἴησαν e corr. E, ἴσαν LM, ἦσαν K, ἦσαν I τῶν γε (in τώ γε mut.) E, τῶν γε BFΩb 171 τρείτην (ει e corr., εει m² superscr.) E τε M 173 an δοιώ? (cf. 211) 175 τεθνηῶτες M, τεθνειῶτες codd. cett. ὑπαὶ E βλοσυροῖο λέοντος Peppmüller 178 ὑσμίνη τε μάχη τε (τε μάχη τε m¹ del.) E, ὑσμίνη τε μάχη D, ὑσμίνη μάχη (μάχη postea del. M) Ψb 181 eiecit Deiters 182 legit Clitias pictor vasis Françoisii, proscripsit E. Meyer 183 om. Ωb, m. rec. in marg. G χρύσεα Ψb 185 ἰδ' DE, ἶδ' B, ἠδ' (ἦδ' F) codd. cett. ἄσβελον D, ἄσμολον (σμ in ras.) GH, ΗΑΣΒΟΛΟΣ vas Clitiae 186 τ' οὔριον Ωb, θ' οὔριον Ψb, θ' οὔριον F, θούρειον superscr. ι m. al. E, θούριον BD Ioannes Pediasimus Μελαγχαίτην Deiters (ΜΕΛΑΓΧΑΙΤΕΣ Centauri nomen in vase Clitiae) τ' Ἔλατόν τε Jahn

ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
καί τε συναΐγδην ὡς εἰ ζωοί περ ἐόντες
ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠριγνῶντο.
ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
χρύσεοι, ἐν δὲ καὶ αὐτὸς ἐναρσφόρος οὔλιος Ἄρης
αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,
αἵματι φοινικόεις, ὡς εἰ ζωοὺς ἐναρίζων
δίφρου ἐπεμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
ἕστασαν ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
τῇ ἰκέλη ὡς εἴ τε μάχην ἐθέλουσα κορύσσειν,
ἔγχος ἔχουσ' ἐν χερσὶν ἰδὲ χρυσέην τρυφάλειαν
αἰγίδα τ' ἀμφ' ὤμοις· ἐπὶ δ' ᾤχετο φύλοπιν αἰνήν.
ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
ἱμερόεν κιθάριζε Διὸς καὶ Λητόος υἱὸς
χρυσείῃ φόρμιγγι· [θεῶν δ' ἕδος ἁγνὸς Ὄλυμπος·
ἐν δ' ἀγορή, περὶ δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο
ἀθανάτων ἐν ἀγῶνι·] θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομένῃς εἰκυῖαι.
ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης

---

188 ἐνὶ E 189 καί γε D, οἵ τε B συναίκτην Ψ (γὸ m. al. in ras. K) 191 ἕστασαν NO, ἕστασαν ΩΨ 192 δ' αὐτός τ' ἐναρηφόρος olim scripsi ἐναρσφόρος BDΨ Et. gen. (cod. B) s. v., ἐναροφόρος FΩb 193 ἔγχος τ' Ωb 195 δίφρου L. Dindorf, δίφρον I, δίφρῳ codd. cett. δὲ om. Ψ (excepto M), δὴ GHM 197 ὀλοὴ B, unde ὀλοὴ ἦν in alia recensione fuisse existimat Peppmüller 199 ἐν χερσὶν L, ἐν χερσὶ DKM, ἐν χειρὶ BFΩb, ἐνὶ χειρὶ E ἰδὲ χρυσέην Bentley, χρυσέην (χρυσείην M) τε codd. τετραφάλειαν B 200 ὤμοις D, ὤμοισιν codd. cett. 202 διὸς καὶ λητοῦς BE, Λητόος Gerhard, λητοῦς καὶ διὸς codd. cett. 203 θεῶν — 205 ἀγῶνι seclusit Bauermeister 203 alteram recensionem habuisse (cf. 201) ἐν δ' ἦν ἀθανάτων μακάρων ἕδος κτλ. arbitratur Wilamowitz 206 μελπομέναις ΩbΨ εἰκυῖαι codd. versuum 207—213 loco quattuor versus (διπλαῖς insignes) contracti leguntur post Homeri Σ 596—608 in pap. Q 207 sq. ΕΝΔΕΛΙΜΗΝΕΤΕΤΥΚ⟨το⟩ΕΑΝΟΥ

8*

κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο
κλυζομένῳ ἴκελος· [πολλοί γε μὲν ἂμ μέσον αὐτοῦ
δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες
νηχομένοις ἴκελοι·] δοιὼ δ' ἀναφυσιόωντες
ἀργύρεοι δελφῖνες †ἐφοίνεον ἔλλοπας ἰχθῦς.
τῶν δ' ὕπο χάλκειοι τρέον ἰχθύες· αὐτὰρ ἐπ' ἀκταῖς
ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος· εἶχε δὲ χερσὶν
ἰχθύσιν ἀμφίβληστρον ἀπορρίψοντι ἐοικώς.
  ἐν δ' ἦν ἠυκόμου Δανάης τέκος, ἱππότα Περσεύς,
οὔτ' ἄρ' ἐπιψαύων σάκεος ποσὶν οὔθ' ἑκὰς αὐτοῦ,
θαῦμα μέγα φράσσασθ', ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
τὼς γάρ μιν παλάμαις τεῦξεν κλυτὸς Ἀμφιγυήεις
χρύσεον· ἀμφὶ δὲ ποσσὶν ἔχεν πτερόεντα πέδιλα.
ὤμοισιν δέ μιν ἀμφὶ μελάνδετον ἆορ ἔκειτο
χαλκέου ἐκ τελαμῶνος· ὃ δ' ὥς τε νόημ' ἐποτᾶτο·
πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου,
Γοργοῦς· ἀμφὶ δέ μιν κίβισις θέε, θαῦμα ἰδέσθαι,
ἀργυρέη· θύσανοι δὲ κατηωρεῦντο φαεινοὶ
χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισι ἄνακτος

(ex Hom. Σ 613) ΚΑCCΙΤΕΡΟΙΟ Q
  209 πολλοί — 211 ἴκελοι, quae recentioris originis esse censuit Peppmüller, non inveniuntur in Q 209 ἂν DE αὐτῆς D 210 θυέων B 211 ΔΟΙΩ Q, δοιοὶ ΩΨ 212 huius quoque versus clausulam primitus fuisse ἐθύνεον ἰχθυάοντες (v. 210) arbitratur Wilamowitz † ε>ΦΟΙΝΕΟΝ Q, ἐφοιβοῦ$^{\omega}$ F, ἐφοίτων libri cett. Et. gen. v. ἔλλοψ, ἐθοίνων Ioannes Pediasimus, ἐθοινῶντ' Ranke, ἐθήρων Schoemann, ἐποίχοντ' Halbertsma 213 ΤΟΥΔ Q υπ>ΟΧΑΛΚΕ<ιοι Q, ὑπὸ χάλκεοι ΩbELM, ὑποχάλκεοι FK θέον Ωb επακτισ? B, ἐπ' ἀκτῆς Peppmüller 214 ἧστο ἀνὴρ libri Et. gen. v. ἀμφίβληστρον, ἕζετ' ἀνὴρ Bentley, ἧστ' ἀνὴρ Schulze, ἀνὴρ ἧσθ' Gerhard χειρὶ Et. gen. 215 ἀπορρίψαντι Et. gen. 218 φράσσασθαι Ωb, φράσασθαι E; an φράσσασθαι μέγα θαῦμ'? (cf. Hymn. Hom. Ap. Pyth. 237) 219 τεύχεν B 222 χάλκεον Ψ ὥστε νόημα ποτᾶτο Ω 226 χρύσεοι DIΨb (ι m. rec. add. M)

κεῖτ' Ἄιδος κυνέη νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
αὐτὸς δὲ σπεύδοντι καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο
ἱέμεναι μαπέειν. ἐπὶ δὲ χλωροῦ ἀδάμαντος
βαινουσέων ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντε
δοιὼ ἀπῃωρεῦντ' ἐπικυρτώοντε κάρηνα.
λίχμαζον δ' ἄρα τώ γε· μένει δ' ἐχάρασσον ὀδόντας
ἄγρια δερκομένω· ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας φόβος. οἳ δ' ὑπὲρ αὐτέων
ἄνδρες ἐμαρνάσθην πολεμήια τεύχε' ἔχοντες,
τοὶ μὲν ὑπὲρ σφετέρης πόλιος σφετέρων τε τοκήων
λοιγὸν ἀμύνοντες, τοὶ δὲ πραθέειν μεμαῶτες.
πολλοὶ μὲν κείατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
μάρνανθ'· αἱ δὲ γυναῖκες ἐυδμήτων ἐπὶ πύργων
χαλκέων ὀξὺ βόων, κατὰ δ' ἐδρύπτοντο παρειάς,
ζωῇσιν ἴκελαι, ἔργα κλυτοῦ Ἡφαίστοιο.
ἄνδρες δ', οἳ πρεσβῆες ἔσαν γῆράς τε μέμαρπεν,
ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι

---

228 μὲν Lehrs 230 ἄπληστοι Et. gen. v. μαπέειν φατοὶ Ψb 231 μαρπέειν LM 233 ὀξέως Ωb δράκοντε B, δράκοντες codd. cett. 234 ἐπὶ κυρτώοντε F, ἐπικυρτώωντε Ωb (praeter I), ἐπικυρτόωντε LM, επὶ κυρτόεντε B, ἐπὶ κυρτώεντα E 235 λίχμαζον M, λίχμασον KL, superscr. αἱ m[1] E, λίχμασσον F (σσ in ras.), λίκμασον Ωb, αιχμάσον (m[1] superscr. σ) B, αἴχμασσον D 236 ἐπὶ δεινοῖσιν δὲ E 237 αὐτῶν ΩbE 239 ὑπὸ BDΨb (in ὑπὲρ mut. m[2] L), ἀπὸ Guyet 240 παραθέειν Ωb, διαπραθέειν Ψ 241 κείατο L, κέατο codd. cett. 243 χαλκέων de Pauw, χάλκεον libri, χάλκεαι Spitzner 245 πρεσβεῖες B, πρέσβυες E, πρέσβηες Buttmann γῆράς τε μέμαρπεν F schol., cf. quae dixi Herm. XXXIII 607 sq.; γῆράς τε μέμαρπον DΩbEKL, γῆρα τε μέμαρπτων B, γῆράς τε μέμαρπτο M 246 ἴσαν IH, ἤσαν Ωb

χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
δειδιότες· τοὶ δ' αὖτε μάχην ἔχον. αἳ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦσαι ὀδόντας,
δεινωπαὶ βλοσυραί τε δαφοιναί τ' ἄπληταί τε
δῆριν ἔχον περὶ πιπτόντων· πᾶσαι δ' ἄρ' ἵεντο
αἷμα μέλαν πιέειν· ὃν δὲ πρῶτον μεμάποιεν
κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
βάλλ' ὄνυχας μεγάλους, ψυχὴ δ' Ἄιδόσδε κατῆεν
Τάρταρον ἐς κρυόενθ'. αἳ δὲ φρένας εὖτ' ἀρέσαντο
αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτασκον ὀπίσσω,
ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον αὖτις ἰοῦσαι.
[Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἡ μὲν ὑφήσσων
Ἄτροπος οὔ τι πέλεν μεγάλη θεός, ἀλλ' ἄρα ἥ γε
τῶν γε μὲν ἀλλάων προφερής τ' ἦν πρεσβυτάτη τε.]
πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο.
δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο.
πὰρ δ' Ἀχλὺς εἱστήκει ἐπισμυγερή τε καὶ αἰνή,

---

249 *κυάνεοι* Ωb 250 cf. Wien. St. V 198 sq. *δεινωπαὶ* D, *δεινωποὶ* BFΨ, *δεινωταὶ* I, *δεινωτοὶ* GH *βλοσυραί* DI, superscr. *οι* GH, *βλοσυροί* BFΨ *δαφοιναί* DI, *δαφοινοίαι* (i. e. *δαφοινοί*, v. l. *αι*) GH, *δαφοινοί* FΨ, *δαφηνοί* B *ἄπληται* D, *ἄπλητοι* codd. cett. 252 *μεμάποιεν* EF, *μεμάρποιεν* libri cett.; *γε μεμάρποι* Deiters 254 *ψυχὴν δ' Ἄιδόσδε καθίει* Hermann *ψυχὴ* B, *ψυχὴν* DFΩbΨ *κατῆεν* l, *κατ' εἶεν* B, *κατεῖεν* libri cett. (e ΚΑΤΕΙΕΝ scriptura antiquiore natum, cf. quae dixi Dial. d. Hes. 453) 255 *εὖτ' ἀρέσαντο* E, *εὖτ' ἄρ' ἕσαντο* D, *εὖτ' ἄρ' ἕσσαντο* (*ἀρέσσαντο* B, *ἀρέσαντο* K) BKL, *εὖτ' ἂν ἕσαντο* F, *εὖτ' ἄρ' ἄσαντο* M, *αὐτὰρ ἕσσαντο* GH, *αὐτὰρ ἄσαντο* I, *εὖτ' ἀρέσαιντο* Peppmüller 257 *δ'* om. B 258—260 postea adiectos esse censuit Koechly; eidem interpolatori v. 261—263 tribuit Künneth 259 *ἥτε* B, *ἧδε* (*δ' ἧδε* H) Ωb post 263 iterum legitur 258 in Ψ (postea del. in E) 264 *ἐπὶ σμυγερή* EI Et. gen. v. *σμυγερή* *αἰνή*] *εχθρή* B

χλωρὴ ἀυσταλέη λιμῷ καταπεπτηυῖα,
γουνοπαχής, μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν.
τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
αἷμ' ἀπελείβετ' ἔραζ'· ἡ δ' ἄπλητον σεσαρυῖα
εἱστήκει, πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,
δάκρυσι μυδαλέη. παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν·
χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
ἑπτὰ πύλαι· τοὶ δ' ἄνδρες ἐν ἀγλαΐῃς τε χοροῖς τε
τέρψιν ἔχον· τοὶ μὲν γὰρ ἐυσσώτρου ἐπ' ἀπήνης
ἦγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει·
τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἱλύφαζε
χερσὶν ἔνι δμῳῶν· ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι
πρόσθ' ἔκιον· τῇσιν δὲ χοροὶ παίζοντες ἕποντο.
τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισι ἄγνυτο ἠχώ.
αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.
ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ,
τοί γε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ
[τοί γε μὲν αὖ γελόωντες ὑπ' αὐλητῆρι ἕκαστος]
πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε
ἀγλαΐαι τ' εἶχον. τοὶ δ' αὖ προπάροιθε πόληος
νῶθ' ἵππων ἐπιβάντες ἐθύνεον. οἱ δ' ἀροτῆρες

265 γρ. αὐαλέη marg. L, αὐαλέη τε Ωb (om. τε M) 266 γουνοπαγής ΩbM μικροὶ Ψb (superscr. μα L) 267 τῆς δ' B παρήων? v. Leeuwen 268 ἄπληστον E 272 τ' οἱ δ' B, τῇδ' D ἀγλαΐης E, ἀγλαίαις ΩΨb τε χοροῖς] λαοῖς Ψb 274 ἦγον τ' LM ὀρυμαγδὸς B 275 δ' ὑπαιθομένων E 276 δμῳῶν D, δμώων codd. cett. ἀγλαίαι E, ἀγλαιησ F, ἀγλαίαις ΩbΨb τεθηλυῖαι DΩb, τε τ' αἰθαλυίαι B 277 τῇσι Ω(-ιν F)M, τοῖσιν E, τοῖσι K, τοῖσιν superscr. ῇσιν L 278 ὑπαὶ λιγυρῶν Ωb (πὸ superscr. G) ἀοιδὴν D 281 αὖ Ψb ἑτέρωθι Ωb 282 μὲν οὖν schol. Rav. Aristoph. Av. 1426 283 deest in Ωb αὐλητῆρος schol. Ven. Aristoph. l. c.

ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
ἐστάλατ'. αὐτὰρ ἔην βαθὺ λήιον· οἵ γε μὲν ἤμων
αἰχμῇς ὀξείῃσι κορωνιόωντα πέτηλα,
βριθόμενα σταχύων, ὡς εἰ Δημήτερος ἀκτήν·
οἳ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον καὶ ἔπιτνον ἀλωήν,
οἳ δ' ἐτρύγων οἴνας δρεπάνας ἐν χερσὶν ἔχοντες,

[οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων
λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων,
βριθομένων φύλλοισι καὶ ἀργυρέῃς ἑλίκεσσιν.]

οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν. παρὰ δέ σφισιν ὄρχος
χρύσεος ἦν, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο, 297
[σειόμενος φύλλοισι καὶ ἀργυρέῃσι κάμαξι,] 299
βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἵδε.
οἵ γε μὲν ἐτράπεον, τοὶ δ' ἤρυον· οἳ δ' ἐμάχοντο
πύξ τε καὶ ἑλκηδόν· τοὶ δ' ὠκύποδας λαγὸς ἦρευν
ἄνδρες θηρευταί, καὶ καρχαρόδοντε κύνε πρό,

[τοί γε μὲν αὖ παίζοντες ὑπ' αὐλητῆρι ἕκαστος] 298

---

287 διήρεικον Et. gen. v. ἐρείκειν 288 ἔστειλάν τ'· ἀτὰρ D, ἐστείλαντ'· αὐτὰρ Ωb 289 κορωνιόεντα DFΩb, κορωνιόεντα et κορυνιόεντα lectiones commemorat Ioannes Pediasimus 290 βριθόμεν' ἀσταχύων Ωb 291 ἔπιτνον superscr. ἔπιπλον GH, επικνυον B ἀλωῇ Robinson, ἀμάλλας? Peppmüller 292 ἐνὶ E 293—295 seclusit Paley; 293 ὑπὸ τρυγητήρων — 296 ἐφόρευν Schoemann, 294 μεγάλων — 296 ἐφόρευν Heinrich eiecerunt 293 ἐν ταλάροις F ἐφόρεον I, ἔφερον Et. mag. v. ὄρχατος 294 deest in B καὶ] ἢ Ωb 295 ἀργυρέοις FΩb 297 πολλύφρονος (sic) ex Hom. ϑ 297 B [298] post 297 legitur in Gl (postea del. in G); quem post 298 collocavit Aldus, cf. quae dixi Herm. XXXIII 610; om. codd. cett. ('ἔν τισιν οὐ φέρεται ὁ στίχος' schol. Monac.) 299 seclusit Wilamowitz ἀργυρέοισι ΩbΨ 300 γε Triclinius, δὲ codd. αἵγε ΩKL 301 οἱ δὲ Ωb 302 λαγὸς Triclinius, λαγοὺς FΩbE, λαγὼς Ψb, λαγῶς D

ἱέμενοι μαπέειν, οἳ δ' ἱέμενοι ὑπαλύξαι·
πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλῳ
δῆριν ἔχον καὶ μόχθον. ἐυπλεκέων δ' ἐπὶ δίφρων
ἡνίοχοι βεβαῶτες ἐφίεσαν ὠκέας ἵππους
ῥυτὰ χαλαίνοντες, τὰ δ' ἐπικροτέοντα πέτοντο
ἅρματα κολλήεντ', ἐπὶ δὲ πλῆμναι μέγ' ἀύτευν.
οἳ μὲν ἄρ' ἀίδιον εἶχον πόνον, οὐδέ ποτέ σφιν
νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχον ἄεθλον.
τοῖσιν δὲ προέκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς,
πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. οἳ δὲ κατ' αὐτὸν
κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον, οἵ ῥά τε πολλοὶ
νῆχον ἐπ' ἄκρον ὕδωρ· παρὰ δ' ἰχθύες ἐκλονέοντο.

θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς
Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε,
ἀρσάμενος παλάμῃσι. τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
πάλλεν ἐπικρατέως· ἐπὶ δ' ἱππείου θόρε δίφρου,
εἴκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,
κοῦφα βιβάς· τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος

304 μαρπέειν LM ὑπαλύξαι ex ἀπ. m² rest. L, ἀπαλύξαι EK 305 ἀέθλων M, superscr. ω L 306 εὐπλοκέων Ψb 308 ἐπικροτέοντα D, ἐπικροτέοντο Ωb, ἐπικροτόεντα Ψ 309 ἀύτνευν D 310 sq. alterius recensionis esse (pro v. 305—309) censuit Deiters v. 310 partem priorem primitus eandem atque v. 305 fuisse ratus (πὰρ-πόνον) 310 ἀίδιον εἶχον LM, ἀίδιον ἔχον ΩK, ἀίδιον δὴ (metri causa illatum) ἔχον E, ἔμπεδον αἰὲν ἔχον Hermann, ἄφθιτον αἰὲν ἔχον ipse conieci 312 τοῖσιν δὲ E, τοῖσι δὲ καὶ codd. cett. προέκειτο Nauck, προὔκειτο libri τρίπος ΩbΨ, τρίπους D 316 γε M 317 παρὰ Ω, πὰρ Ψ ἐκλονέοντο Triclinius, κλονέοντο Ω, δονέοντο Ψ 320 παλάμῃσι] ο, έ, οι (i. e. πολέμοισι) superscripta in E 323 δ' om. Ψ

δίφρου ἐπεμβεβαὼς ἰθύνετο καμπύλον ἅρμα.
ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
καί σφεας θαρσύνουσα ἔπεα πτερόεντα προσηύδα·
    χαίρετε, Λυγκῆος γενεὴ τηλεκλειτοῖο·
νῦν δὴ Ζεὺς κράτος ὔμμι διδοῖ μακάρεσσι ἀνάσσων
Κύκνον τ' ἐξεναρεῖν καὶ ἀπὸ κλυτὰ τεύχεα δῦσαι.
ἄλλο δέ τοί τι ἔπος ἐρέω, μέγα φέρτατε λαῶν·
εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην ἐπιόντα δοκεύσας,
ἔνθα κε γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
ὀφθαλμοῖσι ἴδῃς, ἔνθ' οὐτάμεν ὀξέι χαλκῷ·
ἂψ δ' ἀναχάσσασθαι· ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
οὔθ' ἵππους ἑλέειν οὔτε κλυτὰ τεύχεα τοῖο.
    ὣς εἰποῦσ' ἐς δίφρον ἐβήσατο δῖα θεάων,
νίκην ἀθανάτης χερσὶν καὶ κῦδος ἔχουσα,
ἐσσυμένως. τότε δή ῥα διόγνητος Ἰόλαος
σμερδαλέον ἵπποισιν ἐκέκλετο· τοὶ δ' ὑπ' ὁμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο.
ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη
αἰγίδ' ἀνασσείσασα· περιστονάχησε δὲ γαῖα.
τοὶ δ' ἄμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ,

325 ἀγχίμολος D, ἀγχίμωλον GH   326 θαρσύνουσα Ϝέπεα Lennep, θαρσύνουσ' ἔπεα DΨ, φωνήσασ' ἔπεα Ωb   329 δύσειν D   330 δέ σοι ΩbΨ (praeter M)   τι om. D (ἔπος superscr. altero π), M   333 αὐτὸν Geel   Ἄρη' Hermann   ἐπιόντα D, ἐπὶ νῶτα codd. cett.   337 ἐλάειν E   338 ἐπεβήσετο Ψb   339 ἀθανάταις Ωb   340 (in v. 341 σμερδαλέον θ' scr.) eiecit Paley   341 σμερδαλέον θ' DIΨb Et. gen. v. διόγνητος, σμερδαλέην θ' GH (superscr. ον G)   344 περιστονάχησε scripsi, περιστενάχησε δὲ ΩΨb, περιστονάχιζε δὲ E m², περὶ δ' ἐστοναχίζετο E m¹   345 προγένονθ' ἴκελοι D, προγένοντο ἴκελοι (-ος I) Ωb, πρὸ γένονθ' ἴκελοι M, προσεγένονθ' (σε in ras.) ἴκελοι L, προσέγενθ' ἴκελοι E

Κύκνος ϑ' ἱππόδαμος καὶ Ἄρης ἀκόρητος ἀυτῆς.
τῶν ἵπποι μὲν ἔπειϑ' ὑπεναντίοι ἀλλήλοισιν
ὀξεῖα χρέμισαν, περὶ δέ σφισι ἄγνυτο ἠχώ.
τὸν πρότερος προσέειπε βίη Ἡρακληείη·
Κύκνε πέπον, τί νυ νῶιν ἐπίσχετον ὠκέας ἵππους
ἀνδράσιν, οἵ τε πόνου καὶ διζύος ἴδριές εἰμεν;
ἀλλὰ παρὲξ ἔχε δίφρον ἐύξοον ἠδὲ κελεύϑου
εἶκε παρὲξ ἰέναι. Τρηχῖνα δέ τοι παρελαύνω
ἐς Κήυκα ἄνακτα· ὃ γὰρ δυνάμι τε καὶ αἰδοῖ
Τρηχῖνος προβέβηκε, σὺ δ' εὖ μάλα οἶσϑα καὶ αὐτός·
τοῦ γὰρ ὀπυίεις παῖδα Θεμιστονόην κυανῶπιν.
ὦ πέπον, οὐ μὲν γάρ τοι Ἄρης ϑανάτοιο τελευτὴν
ἀρκέσει, εἰ δὴ νῶι συνοισόμεϑα πτολεμίζειν.
ἤδη μέν τέ ἕ φημι καὶ ἄλλοτε πειρηϑῆναι
ἔγχεος ἡμετέρου, ὅϑ' ὑπὲρ Πύλου ἠμαϑόεντος
ἀντίος ἔστη ἐμεῖο, μάχης ἄμοτον μενεαίνων.
τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἠρείσατο γαίῃ
οὐταμένου σάκεος, τὸ δὲ τέτρατον ἤλασα μηρὸν
παντὶ μένει σπεύδων, διὰ δὲ μέγα σαρκὸς ἄραξα·
πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
ἔνϑα κε δὴ λωβητὸς ἐν ἀϑανάτοισιν ἐτύχϑη
χερσὶν ὑφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα.
ὣς ἔφατ'· οὐδ' ἄρα Κύκνος ἐυμμελίης ἐμενοίνα
τῷ ἐπιπειϑόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.

---

347 *τῶν* Guyet, *τῶν δ'* Ω, *τῶν ϑ'* Ψ Ioannes Pediasimus 348 *ὀξέα τ' ἐχρέμισαν περί τε* Guyet, *ὀξέα γ' ἐχρέμισαν* conieci, *ὀξέ' ἀναχρέμισαν*? Schulze *σφιν* DΨb 351 *ἐσμέν* E 354 *δυνάμι* scripsi, *δυνάμει* libri 355 *αὖ* Ψb 356 *ϑεμιστονοίην* Ωb, *ϑεμιστονέην* Ψb 358 *πολεμίζειν* ΩbΨb 361 *μάχην* D 364 *δὲ μέγα* altero *μ* superscr. E *σαρκὸς* D, *σάκκος* E, *σάκος* ΩbΨb schol. par. 365 *ὁρμή* Ψb, *αἰχμῇ* superscr. *ὁρμῇ* m[1] E, *γρ. ἔγχεος αἰχμή* schol. par. 367 *ἐφ'* ΩbL

δὴ τότ᾽ ἀπ᾽ εὐπλεκέων δίφρων θόρον αἶψ᾽ ἐπὶ γαῖαν
παῖς τε Διὸς μεγάλου καὶ Ἐνυαλίοιο ἄνακτος.
ἡνίοχοι δ᾽ ἔμπλην ἔλασαν καλλίτριχας ἵππους·
τῶν δ᾽ ὕπο σευομένων κανάχιζε πόσ᾽ εὐρεῖα χθών.
ὡς δ᾽ ὅτ᾽ ἀφ᾽ ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
πέτραι ἀποθρῴσκωσιν, ἐπ᾽ ἀλλήλῃς δὲ πέσωσι,
πολλαὶ δὲ δρύες ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ᾽ αὐτέων
ῥίμφα κυλινδομένων, ἧος πεδίονδ᾽ ἀφίκωνται,
ὣς οἳ ἐπ᾽ ἀλλήλοισι πέσον μέγα κεκλήγοντες.
πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλειτή τ᾽ Ἰαωλκὸς
Ἄρνη τ᾽ ἠδ᾽ Ἑλίκη Ἄνθειά τε ποιήεσσα
φωνῇ ὕπ᾽ ἀμφοτέρων μεγάλ᾽ ἴαχον· οἳ δ᾽ ἀλαλητῷ
θεσπεσίῳ σύνισαν· μέγα δ᾽ ἔκτυπε μητίετα Ζεύς.
κὰδ δ᾽ ἄρ᾽ ἀπ᾽ οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας,
σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέι παιδί.
οἷος δ᾽ ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι
ἀνδράσι θηρευτῇς, θήγει δέ τε λευκὸν ὀδόντα
δοχμωθείς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι
λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἔικτον,
ὀρθὰς δ᾽ ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν·

---

370 αἶψ᾽ ΩbΨ Ioannes Pediasimus, ἆψ D   373 suspectus Paleio   καναχὴν ἔχεν Hermann, κανάχει πόσσ᾽ Peppmüller   πόσ᾽ E, πόδ᾽ (δ in ras.) D, πᾶσ᾽ ΩbΨb (ό m. rec. superscr. M)   375 ἀποθρώσκουσιν ΩΨ   ἀλλήλαις δὲ ΩΨ   376 δρύες restitui, δρῦς codd. (cf. Op. 509)   377 αὐτέων scripsi, αὐτῶν libri   378 ἧος scripsi, εἵως DΨ, ἕως Ωb ἀφίκονται Ψb   379 κεκληγῶτες E, κεκληγότες ΩbΨb   380 ἰαολκὸς D, ἰωλκὸς Ωb   384 removet Wilamowitz (cf. Hom. Π 459)   386 βήσσῃσιν D, βήσσαις Ωb   προσιδέσθαι Ωb (m. rec. L)   387 post φρονέει aliquid (δὲ?) erasum E, φρονέει δὲ ΩΨb μάχεσθαι Ωb   388 θηρευτῇς E, θηρευταῖς D, θηρευτῇσι ΨbI, θηρατῆρσι GH   390 ἔικτον Goettling, ἐίκτην libri

τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.
ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν
ἄρχεται, ᾧ τε πόσις καὶ βρῶσις θῆλυς ἐέρση,
καί τε πανημέριός τε καὶ ἠώιος χέει αὐδὴν
ἴδει ἐν αἰνοτάτῳ, ὅτε τε χρόα Σείριος ἄζει,
τῆμος δὴ κέγχροισι πέρι γλῶχες τελέθουσι
τούς τε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,
οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος·
τὴν ὥρην μάρναντο, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.

ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
ἀλλήλοις κοτέοντες ἐπὶ σφέας ὁρμήσωσι,
δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίγνετ' ὀδόντων·

οἳ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχῆλαι,
πέτρῃ ἔφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται
αἰγὸς ὀρεσσινόμου ἢ ἀγροτέρης ἐλάφοιο
πίονος, ἥν τ' ἐδάμασσε βαλὼν αἰζήιος ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ' ἀπαλήσεται ἄλλῃ
χώρου ἄιδρις ἐών· οἳ δ' ὀτραλέως ἐνόησαν,
ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
ὣς οἳ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.

393—401 inter 442 et 443 collocari iussit Peppmüller 396 ἀοιδὴν Ψb 397 ὅτε τε Et. gen. v. ἴδος, ὅτε ΩbΨb, ὅτε περ E, ὁπότε D 398 ἦμος schol. par. Ioannes Pediasimus τελέθωσι DE 399 σπείρωσιν D αἰόλλονται D, αἰόλλοντο Ωb, αἰόλονται Ψb, αἰωλῶνται E 402—404 alius recensionis atque v. 405—411 esse censuit Goettling 403 ὁρμήσουσι Ωb 404 γίνετ' libri 405 ἀγκυλοχῆλαι v. Zacher Phil. LVII 28, ἀγκυλοχεῖλαι codd. 406 κράζοντε Ωb μάχωνται scribendum cf. Hom. Π 429, μάχονται D, μάχεσθον ΩbM, μαχέσθην L, κλάζοντ' (λ ex ρ corr.) ἐμαχέσθην E 409 ἀπὸ νευρῆς altero ν superscr. (m. rec. del.) E ἀπαλήσεται (α, το superscr.) (α, το m. al.) L, ἀπαλήσατο M, ἀπονίσσεται I, ἀποχήσεται Et. mag. v. ἄιδρις 412 κεκλήγοντες D, κεκληγῶτες E, κεκληγότες ΩbΨb

ἔνθ' ἤ τοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
κτεινέμεναι μεμαὼς σάκει ἔμβαλε χάλκεον ἔγχος,
οὐδ' ἔρρηξεν χαλκός· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δέ, βίη Ἡρακληείη,
μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ
αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
ἤλασ' ἐπικρατέως· ἀπὸ δ' ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός.
ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ὅτε πεύκη
ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
[ὣς ἔριπ'· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.]
τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρην προσιόντα δοκεύσας,
δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,
ὅς τε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
σχίσσας ὅττι τάχιστα μελίφρονα θυμὸν ἀπηύρα·
ἐμ μένεος δ' ἄρα τοῦ γε κελαινὸν πίμπλαται ἦτορ·
γλαυκιόων δ' ὄσσοις δεινὸν πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιόων ποσσὶν γλάφει, οὐδέ τις αὐτὸν
ἔτλη ἐς ἄντα ἰδὼν σχεδὸν ἐλθέμεν οὐδὲ μάχεσθαι·
τοῖος ἄρ' Ἀμφιτρυωνιάδης, ἀκόρητος ἀυτῆς,
ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,
ἐσσυμένως· ὃ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ·
ἀμφότεροι δ' ἰάχοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.

---

415 *χαλκός* Seleucus; *χαλκός* superscr. *όν* H, *χαλκόν* superscr. *ός* GL, *χαλκόν* codd. cett. 418 *αὐχένι* Ψb 421 *πεύκη* superscr. m^1 *ετρ* (= *πέτρη*) E, *πέτρη* libri cett. 423 suspectus Wolfio 425 *αὐτὸν . . . ἐπιόντ' ἐδόκευσεν*? Peppmüller *ἄρηα* E, *ἄρεα* L *προσιέντα* M, *προιόντα* GH, *ἐπιόντα* Ioannes Pediasimus 429 *ἐν* (*ἐμ* L. Dindorf) *μένεος* J. F. v. Meyer, *ἐμμενέως* codd. 430 *ὄσσοισι* ΩbΨ 432 ΕΛΘΕΜΕ<*ν* A, *ἐλθεῖν* ΩΨ 434 *ἔστη ἄρηος* in ras. O, cf. 444; *ἄρηος ἔστη* N, *ἄρεος ἔστη* ΩΨ, ΑΝΤΙΟϹ . . . . .*ε*>ϹΤΗ A 435 *ἀχθόμενος κῆρ* Ωb

ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ,
μακρὰ δ' ἐπιθρῴσκουσα κυλίνδεται, ἣ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν
ὑψηλός· τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει·
τόσσῃ ὃ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης
κεκληγὼς ἐπόρουσεν· ὃ δ' ἐμμαπέως ὑπέδεκτο.
αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν Ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα·
δεινὰ δ' ὑπόδρα ἰδοῦσα ἔπεα πτερόεντα προσηύδα·
Ἆρες, ἔπισχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους·
οὐ γάρ τοι θέμις ἐστὶν ἀπὸ κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν·
ἀλλ' ἄγε παῦε μάχην, μηδ' ἀντίος ἵστασ' ἐμεῖο.
ὣς ἔφατ'· ἀλλ' οὐ πεῖθ' Ἄρεος μεγαλήτορα θυμόν,
ἀλλὰ μέγα ἰάχων φλογὶ εἴκελά τ' ἔγχεα πάλλων
καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακληείῃ
κακτάμεναι μεμαώς· καί ῥ' ἔμβαλε χάλκεον ἔγχος,
σπερχνὸν παιδὸς ἑοῦ κοτέων πέρι τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ. ἀπὸ δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ' ὀρεξαμένη ἀπὸ δίφρου.
δριμὺ δ' Ἄρην ἄχος εἷλε· ἐρυσσάμενος δ' ἄορ ὀξὺ
ἔσσυτ' ἐφ' Ἡρακλέα κρατερόφρονα· τὸν δ' ἐπιόντα

---

437 ἀπὸ μεγάλου superscr. altero μ E ὀρούσα Ψb (ὀρούσσα H, e corr. G) 438 ἠχῇ Ψb, ἠχή codd. cett. 439 ЄΜΒЄΒΑΥΙΚα A 445 ἰδοῦσα Ψ, ἰδοῦσ' Ω 446 ἔπισχε D, ἐπίσχε in ἔπισχε mut. m² E, ἐπίσχε Ωb, ἐπίσχες Ψb 448 Ἡρακλέην Nauck 449 μάχην Paley, μάχης codd. 450 πεῖθεν Ψ ἄρηος E 451 μέγ' DE εἴκελα NO, ἴκελα ΩΨ τ' ἔγχεα Hecker, τεύχεα libri 453 κακτάμεναι superscr. κ D, κακκτάμεναι E, κατακτάμεναι Ωb 454 σπερχνὸν superscr. γρ. ὦς D τεθνειῶτος DEIΨb, τεθνεῶτος H 456 ἐτράπετ' D 457 Ἄρην NO, cf. v. 59, 333, 425; ἄρη' Ψ, ἄρη DI, ἄρ' GH 458 ἐφ' Ἡρακλέα (Ἡρακλέην? Nauck) κρατερόφρονα D Ioannes Pediasimus, ἐφ' ἡρακλῆι κρατερόφρονι codd. cett.

Ἀμφιτρυωνιάδης, δεινῆς ἀκόρητος ἀυτῆς,
μηρὸν γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
οὔτασ' ἐπικρατέως· διὰ δὲ μέγα σαρκὸς ἄραξε
δούρατι νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.
τῷ δὲ Φόβος καὶ Δεῖμος ἐύτροχον ἅρμα καὶ ἵππους
ἤλασαν αἶψ' ἐγγύς, καὶ ἀπὸ χθονὸς εὐρυοδείης
ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
ἵππους μαστιέτην· ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος
Κύκνον σκυλεύσαντες ἀπ' ὤμων τεύχεα καλὰ
νίσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
ἵπποις ὠκυπόδεσσιν. ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ' Οὔλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ Κῆυξ θάπτεν καὶ λαὸς ἀπείρων,
οἵ ῥ' ἐγγὺς ναῖον πόλιας κλειτοῦ βασιλῆος
[Ἄνθην Μυρμιδόνων τε πόλιν κλειτήν τ' Ἰαωλκὸν
Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαός,]
τιμῶντες Κήυκα, φίλον μακάρεσσι θεοῖσιν.
τοῦ δὲ τάφον καὶ σῆμ' ἀιδὲς ποίησεν Ἄναυρος
ὄμβρῳ χειμερίῳ πλήθων· τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ', ὅτι ῥα κλειτὰς ἑκατόμβας
ὅς τις ἄγοι Πυθοῖδε βίῃ σύλασκε δοκεύων.

---

459 ΔΕΙΝΟϹ A 461 δὲ μέγα altero μ m[1] superscr. E σαρκὸς A (ϹΑΡΚ<ος) Ω, σάκος Ψ Ioannes Pediasimus α>ΡΑΞΕΝ A 462 κάμβαλε (e corr. I) Ωb ΜΕϹϹΗ A 466 ΜΑΚΛ<ον P 468 ἐσκύλευσαν καὶ D 469 νίσοντ' Ψ (praeter M), νίσσοντ' ΩM 470 ΑΤΑ<ρ P, ἀτὰρ DE, αὐτὰρ ΩbΨb 473 ΠΟΛΙΑϹ P, πόλῃας ΩΨb, πόλιος E 474 sq., quos PΩΨ exhibent, recentioris originis esse censuit Goettling 474 ΙΑΩΛΚΟΝ P, Ἰαωλκὸν Ψ, ἰαολκὸν D, ἰαβηλὸν Ωb (addito ωλκὸν I) 475 πουλὺς E ε>ΠΕΙΓΕΡ<.το P (ἐπαγείρατο Blass) 479 ἤνωγ' Ωb 480 πυθῶδε M, Πυθώδε Goettling ΒΙΗϹΥ<λασκε P

ΑΠΟΣΠΑΣΜΑΤΑ

NOTAE PAPYRORUM

C = papyrorum Flinders Petrie tab. III 3 (Fragm. 21)

D = papyrus musei Berolinensis 7497 saec. II (Fragm. 7 b)

A = papyrus graeca bibl. Argentinensis 55 saec. II (Fragm. 81)

B = papyrus musei Berolinensis 9739 saec. II (Fragm. 94)

E = papyrus musei Berolinensis 10560 saec. III (Fragm. 96)

F = papyrus musei Berolinensis 9777 saec. IV (Fragm. 135)

* * *

G = papyrus Oxyrhynch. 421 saec. II (Fragm. dub. 245)

ΚΑΤΑΛΟΓΟΣ. ΗΟΙΑΙ

1] Menander *περὶ ἐπιδεικτ.* 628 (Rhet. Gr. IX 268, 15 W.) *πολλὰ δὲ αὐτῷ (Ἡσιόδῳ) ἐν τοῖς Καταλόγοις τῶν γυναικῶν εἴρηται περὶ θεῶν συνουσίας καὶ γάμου*

1b (20)[1])] Servius in Vergil. Aen. VII 268 *antiquis semper mos fuit meliores generos rogare .... Hesiodus etiam περὶ γυναικῶν inducit multas heroidas optasse nuptias virorum fortium*

2 (21)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 1086 *ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν πρώτῳ Καταλόγων φησί, καὶ ὅτι Δευκαλίωνος καὶ Πύρρας Ἕλλην*
cf. Filastrius div. her. lib. 111, 4 (p. 76, 2 M.) et 111, 2 (p. 75, 16 M.)

3 (22)] Schol. Ambros. et Harl. Hom. *κ* 2 *Δευκαλίων, ἐφ' οὗ ὁ κατακλυσμὸς γέγονε, Προμηθέως μὲν ἦν υἱός, μητρὸς δέ, ὡς οἱ πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος, Προνόης, ὡς δὲ Ἀκουσίλαος, Ἡσιόνης τῆς Ὠκεανοῦ καὶ Προμηθέως*

---

1 *αὐτῷ* Walz, *αὐτῶν* vel *αὐτοῖς* codd.
2 *Πανδώρας*] *Προνοίης* (*Προμηθέως καὶ Πύρρας* retinens) Sittl *Δευκαλίωνος* Marckscheffel, *προμηθέως* schol. Laur.
3 *Προνόης* Dindorf, *πρυνόης* Harl., *πρυνείης* Ambr.

---

1) numeri uncis inclusi sunt editionis meae anni 1884

4 (24)] *Κούρη δ' ἐν μεγάροισιν ἀγαυοῦ Δευκαλίωνος*
Πανδώρη Διὶ πατρί, θεῶν σημάντορι πάντων,
μειχθεῖσ' ἐν φιλότητι τέκεν Γραῖκον μενεχάρμην

Ioannes Laurentius Lyd. de mens. I 13 (p. 7, 22 W.) *τοσούτων οὖν ἐπιξενωθέντων τῆς Ἰταλίας, ὥς περ ἐδείχθη, Λατίνους μὲν τοὺς ἐπιχωριάζοντας, Γραικοὺς δὲ τοὺς ἑλληνίζοντας ἐκάλουν, ἀπὸ Λατίνου τοῦ ἄρτι ἡμῖν ῥηθέντος καὶ Γραίκου, τῶν ἀδελφῶν, ὥς φησιν Ἡσίοδος ἐν Καταλόγοις·* Theog. 1013 '*Ἄγριον ἠδὲ Λατῖνον*'. 1—3 '*κούρη — μενεχάρμην*'

cf. Filastrius div. her. lib. 111, 6 (p. 76, 13 M.)

5 (25)] *Ἡ δ' ὑποκυσαμένη Διὶ γείνατο τερπικεραύνῳ*
υἷε δύω, Μάγνητα Μακηδόνα θ' ἱππιοχάρμην,
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον

Constantinus Porphyr. de them. 2 p. 48 B. *Μακεδονία ἡ χώρα (ὠνομάσθη) ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ* **Θυίας** *τῆς Δευκαλίωνος, ὥς φησιν Ἡσίοδος ὁ ποιητής·* '*ἣ δ' — ἔναιον*'

6 (26)] *Μάγνης δ' αὖ Δίκτυν τε καὶ ἀντίθεον Πολυδέκτεα*

Grammaticus ('Herodianus') de soloec. et barb. (post Lex. Vindob.) p. 310, 5 N. *περὶ δὲ διαίρεσιν (βαρβαρίζουσιν), ὡς ὅταν Ἡσίοδος λέγῃ·* '*Μάγνης δὲ κατ' αὐτὸ καὶ ἀντίθεον Πολυδεύκεα*'

7 (27)] *Ἕλληνος δ' ἐγένοντο φιλοπτολέμου βασιλῆος*

---

4 recentioris originis esse arbitratur Niese, sed cf. Wilamowitz Herm. XXXIV 610 sq. *μιχθεῖσ'* libri

5, 2 *Μακηδόνα* Lehmann, *Μακεδόνα* codd.

6 *δ' αὖ Δίκτυν τε* Goettling, *δ' αὖ Δίκτην τε* cod. Leidensis Valckenaerii, *δὲ κατ' αὐτὸ* libri (Nauckii) *Πολυδέκτεα* (vel *Πολυδέκτην*) Nauck, *Πολυδεύκεα* libri

7, 1 *φιλοπτολέμου βασιλῆος* schol. Lycophr., *φιλοπτόλεμοι βασιλῆες* schol. Iamblichi, *θεμιστοπόλου βασιλῆος* Tzetzes in

Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.

Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολόμητις
Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης

1. 2 Plutarchus Mor. p. 747 f *καὶ '"Ελληνος — ἱππιοχάρμης'*

Schol. Lycophr. 284 *Δωριέα δὲ στρατὸν λέγει τοὺς Ἕλληνας ἀπὸ Δώρου τοῦ Ἕλληνος υἱοῦ, ὡς καὶ Ἡσίοδος· '"Ελληνος — ἱππιοχάρμης'*

cf. Schol. Thucyd. I 3 Schol. Hom. *κ* 2 Iamblichus Vit. Pyth. 242 (p. 168, 13 sq. N.) Schol. Iamblich. l. c. p. 197, 2 N. Tzetzes Exeg. Iliad. 63, 12 et 134, 2 H.

2 Herodianus *περὶ μον. λέξ.* p. 42 (II 947, 24 L.) *Ξοῦθος τὸ κύριον· 'Δῶρός τε Ξοῦθός τε'*

3—5 Schol. Pind. Pyth. IV 253 *καὶ Ἡσίοδος· 'Αἰολίδαι — Περιήρης'*

1—5 Tzetzes in Lycophr. 284 *Δωριεὺς στρατὸς] ὁ Ἑλληνικός, ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός, ὥς φησιν Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ· '"Ελληνος — Περιήρης'*

7b] * * *

βοῦς ἐλάσα⟨ς
ἔγνω ὁ μ⟨ὲν
βουλῇ Ἀθ⟨ηναίης
ἀθανάτων

Lycophr. cod. schol. Exeg. Iliad. 134, *θεμιστοπόλου* (superscr. *οι*) *βασιλῆος* (superscr. *ες*) cod. Exeg. Iliad. 63; *θεμιστοπόλοι βασιλῆες* Plutarchus 2 *αἰόλος* codd. Plutarchi Iamblichus schol. Iamblichi schol. Lycophr. cod. Exeg. Iliad. utroque l. 3—5 Tzetzam e schol. Pindari cum v. 1 sq. suo arbitratu in schol. Lycophr. coniunxisse iudicat Sittl 3 *Αἰολίδου . . . θεμιστοπόλου βασιλῆος* Tzetzae codd. pars 4 *αἰολόμητις* Nauck, *αἰολομήτης* volgo 5 *τ'* om. schol. Pind.

7^{b}, 2 *μ⟨ὲν* Crönert

ἔσσεσθαι π
ἡ δὲ Ποσε⟨ιδάωνι θεῶν, ἀνδρῶν δὲ μιγεῖσα
Γλαύκῳ ἔτ⟨ικτε . . . . . . ἀμύμονα Βελλεροφόντην
ἔξοχον ἀνθ⟨ρώπων
τῷ δὲ καὶ ἠ⟨ιθέῳ ἔτ' ἐόντι πατὴρ πόρεν ἵππον
ὠκύτατον
πάντη ἀν⟨αστρωφᾶν
σὺν τῷ πῦ⟨ρ πνείουσαν ἑλὼν κατέπεφνε Χίμαιραν,
γῆμε δὲ π⟨αῖδα φίλην μεγαλήτορος Ἰοβάταο
αἰδοίου βασ⟨ιλῆος
κοίρανος α . . .
ἡ τέ⟨κε

* * *

Papyrus musei Berolinensis 7497 saec. alterius (= D) ed. Schubart et Wilamowitz, Berl. Klassikertexte V 1, 45

8 (28)] Schol. Laur. Apoll. Rhod. Arg. Δ 266 *οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος*

9 (29)] Schol. Laur. Apoll. Rhod. Arg. Α 482 *Ἀλωιάδας*] . . . *Ἡσίοδος δὲ Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας ἔφη, καὶ Ἄλον, πόλιν Αἰτωλίας, ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι*

10 (30)] Suidas (I 2 p. 387, 4 B.) (= Et. Tittm.) v. *Ἐπιάλτην· Ὅμηρος καὶ Ἡσίοδος· καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα· διὰ δὲ τοῦ φ̄ τὸν ἄνδρα Ἐφιάλτην. καὶ τὸν ῥιγοπύρετον λεγόμενον*

---

6 rest. Wilamowitz 7 rest. idem, *ἀμύμονα* addidi ex Hom. Z 155 9 *ἠ⟨ιθέῳ-ἵππον* supplevi, cf. Fr. 245,17 11 ΠΑΝΤΗΙ D *ἀν⟨αστρωφᾶν* e Scuti v. 121 Wilamowitz 12 rest. idem, qui *ἐδάμασσε* recepit; *κατέπεφνε* dedi ex Hom. Z 183 cf. Pind. Ol. XIII 90 13 *π⟨αῖδα φίλην* et *Ἰοβάταο* Wilamowitz, *μεγαλήτορος* addidi

11 (31)] Ἶν δ' αὐτῷ θανάτου ταμίης, ὅτε μέλλοι ὀλέσθαι

Schol. Laur. Apoll. Rhod. Arg. Δ 57 τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης, παρὰ Διὸς εἰληφότα τὸ δῶρον ἶν αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι

Apollonius Dysc. de pron. 106 A B. τῇ 'τίν' σύζυγος ἡ 'ἶν' τοῦ τ̄ ἀρθέντος. Ἡσίοδος· 'ἶν — ταμίης'

12 (32)] Schol. Ven. A Hom. Λ 750 Ἀκτορίωνε Μολίονε] (ἡ διπλῆ), ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ' ἐπίκλησιν καὶ Μολιόνης αὐτοὺς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος

Apollonius Lex. Hom. v. Μολίονε· ... ἀπὸ γὰρ μητρὸς οὐδένα σημαίνει Ὅμηρος. Ἡσίοδος δὲ ὡς Μολι⟨ό⟩νης υἱοὺς γεγονότας παραδίδωσι

13 (32)] Porphyrius Quaest. Hom. ad Iliad. pert. 265, 8 Schr. (Schol. Ven. A Hom. Ψ 638 sq.) Ἀρίσταρχος δὲ διδύμους (τοὺς Μολίονας) ἀκούει οὐχ οὕτως ὡς ἡμεῖς ἐν τῇ συνηθείᾳ νοοῦμεν, οἷοι ἦσαν καὶ οἱ Διόσκοροι, ἀλλὰ τοὺς διφυεῖς, δύο ἔχοντας σώματα, Ἡσιόδῳ μάρτυρι χρώμενος, καὶ τοὺς συμπεφυκότας ἀλλήλοις

Schol. Townl. Hom. Λ 710 ἢ ὅτι τερατώδεις τινὲς ἦσαν, ὡς Ἡσίοδος, ἄμφω ἐν ἑνὶ σώματι ὄντες

cf. Eustathius Hom. 1321, 19 et 882, 26

14 (33)] Περικλύμενόν τ' ἀγέρωχον
ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,

---

11 ἶν δ' αὐτῷ Apollonius Dysc., ἐν αὐτῷ Apollonii Rhod. cod. Laur. ὅτε μέλλοι ὀλέσθαι 'Eudociae' Violarii compilator (Constant. Palaeocappa), ὅτε θέλοι ὀλέσθαι schol. Laur., ὅτ' ὀφέλλοι ὀλέσθαι C. Schenkl, ὅθ' ἕλοιτ' ἀπολέσθαι Peppmüller

μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δ' αἰνὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα
παντοῖ', οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσε
βουλῇ Ἀθηναίης

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 156 de Periclymeno *Ἡσίοδος δὲ μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωι, τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι τῆς Ἀθηνᾶς ὑποδειξάσης. φησὶ δὲ οὕτως· ʽΠεϱικλύμενον — Ἀθηναίης'*

cf. Schol. Ven. A Hom. *Β* 336 Schol. Hom. *λ* 286 Eustathius Hom. 1685, 62

15 (34)] *Κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς*
ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ
ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερηνοῖς

1—3 Stephanus Byz. v. *Γερηνία· πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. Ἡσίοδος ἐν α΄ Καταλόγων ʽκτεῖνε — Γερήνοις', ἀπὸ εὐθείας τῆς Γέρηνος*

cf. Eustathius Hom. 231, 29 Schol. Ven. A Hom. *Β* 336

2 sq. Schol. Hom. *γ* 68 *Γερήνιος ἱππότα Νέστωρ] κατὰ μὲν Ἡσίοδον ὁ ἐν Γερήνοις ἀνατραφείς*

3 Stephanus Byz. v. *Τάβαι· . . Ἡσίοδος ʽπαρ' ἱπποδάμοισι Γερηνοῖς'*

16 (35)] *Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ*

Stephanus Byz. v. *Γερηνία· καὶ αὖθις ʽΝέστωρ — Γερήνῳ'*

cf. Eustathius Hom. 231, 29 (Anecd. Par. III 191, 7 Cr.)

14, 5 aut lacunam post *φῦλα* statuendam aut *δῦνε* (pro *δ' αὖτε*) scribendum esse censuit Koechly; *μελισσέων ἄγν' ἀνὰ φῦλα* Wilamowitz; *μέλισσ' ἦν ἀγλαόφυλος* Ludwich 6 *δ' αἰνὸς* Marckscheffel, *δεινὸς* schol. Laur.

15, 3 *Γερήνοις* Stephanus v. *Γερηνία* Eustathius

17 (36)] *Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη,*
Νέστορος ὁπλοτάτη κούρη Νηληιάδαο,
Περσέπολιν μειχθεῖσα διὰ χρυσέην Ἀφροδίτην

Eustathius Hom. 1796, 39 *αὐτοῦ (Τηλεμάχου) δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν (γενεαλογοῦσιν), ὡς Ἡσίοδος 'Τηλεμάχῳ — Ἀφροδίτην'*

18 (39)] Schol. Hom. μ 69 *Τυρὼ ἡ Σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ Πελίαν, ἔγημε Κρηθέα. καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήδης καθ' Ἡσίοδον γίνεται Ἰάσων, κατὰ δὲ Φερεκύδην ἐξ Ἀλκιμέδης*

19 (40)] *Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,*
ὃν Χίρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι

Schol. Pind. Nem. III 92 *ὅτι δὲ ἐτράφη παρὰ τῷ Χίρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν· 'Αἴσων — ὑλήεντι'*

20 (41)] Apollodorus III 9, 2, 7 (p. 138, 6 W.) *Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως εἶπον, Εὐριπίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οὐ Μελανίωνα, ἀλλὰ Ἱππομένην*

Philodemus *περὶ εὐσεβ.* p. 60 G. *εἰ καὶ Ἀτα⟨λάντη⟩ ἡ Σχοινέως, ⟨ὡς καὶ⟩ Ἡσίοδος λέ⟨γει*

17, 2 *Νηληιάδαο* Heinsius, *Νηληιάδεω* Eustathius 3 *Περσέπτολιν* Eustathius, corr. Heinsius *μιχθεῖσα* Eustathius *χρυσέην* Goettling, *χρυσῆν* Eustathius

18 *Πολυμήδης* ex Apollodoro (I 9, 16, 1) dubitans Lehmann, *Πολυμήλας* schol. Hom.

19, 2 *θρέψεν Χείρων* Spitzner, *χείρων ἔθρεψ'* D, *ἔθρεψεν* BV *Χίρων* cf. ad Theog. 1001

20 de hoc proximisque fragmentis cf. Robert Herm. XXII 445 sqq. ΣΧΟΝΘΩΣ papyrus, corr. Bergk ⟨*ὡς* Gomperz, *καὶ*⟩ Bergk

21 (42. 140)] * * *

ι τοῖο ἄνακτος
ι ποδωκὴς δῖ' Ἀταλάντη
Σχοινῆος θυγάτηρ,⟩ Χαρίτων ἀμαρύγματ' ἔχουσα
ἀναίνετο φῦλον ὁμοῖ⟨ον
ἀνδρῶν βουλομένη φεύγε⟩ιν γάμον ἀλφηστάων
? ?

1 sqq. Flinders Petrie Papyri ed. Mahaffy, tab. III 3 (= C), cf. Hopfner Wien. St. XIV 154 sq.

2 Schol. Ven. A Hom. *B* 764 *ἀλλά φασιν εἰς ἰδιότητα τοῦ Ἀχιλλέως βεβαρυτονῆσθαι τὸ ποδώκης. παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι 'ποδωκὴς δῖ' Ἀταλάντη'*

3 Et. gen. v. *ἀμαρύσσω· .. καὶ ἀμάρυγμα καὶ ἀμαρυγάς· σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις· Ἡσίοδος γυναικῶν Καταλόγῳ· 'Χαρίτων — ἔχουσα'*

22 (43)] Schol. Townl. Hom. *Ψ* 683 (cf. Eustathius Hom. 1324, 18) *νεώτερος οὖν Ἡσίοδος γυμνὸν εἰσάγων Ἱππομένη ἀγωνιζόμενον Ἀταλάντῃ* cf. Schol. Ven. A l. c.

23 (45)] *Καὶ κούρην Ἀράβοιο, τὸν Ἑρμάων ἀκάκητα*
γείνατο καὶ Θρονίη, κούρη Βήλοιο ἄνακτος

1 sq. Strabo I p. 42 *Ἡσίοδος δ' ἐν Καταλόγῳ φησί· 'καὶ — ἄνακτος'*

1 Eustathius in Dionys. Perieg. 927 *Ἡσίοδος .. ἐν τῷ 'κούρην Ἀράβοιο' ..*

cf. Eustathius Hom. 1484, 63

24 (49)] *Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον*

Eustathius Hom. 461, 2 *πολυδίψιον δὲ τὸ Ἄργος καλεῖ ...*

21, 2 ΔΙ C, *δ'* schol. Ven. ΑΤΑΛΑΝ⟨*τη* C 3 *Σχοινῆος θυγάτηρ*⟩supplevi *χαρι*⟩ΤΩΝ C ЄΧΟ⟨*υσα* C 4 ΟΜΟΙ⟨*ον* C 5 *ἀνδρῶν βουλομένη φεύγε⟩ιν* scripsi (an *προφυγε⟩ῖν?*); post v. 5 litterarum reliquias incertas exhibet C

22 *Ἀταλάντῃ* Eustathius, *ταλάντῳ* schol.

ἢ καὶ ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν, ὡς Ἡσίοδος· '"Αργος — εὔυδρον'

cf. Hesychius v. δίψιον "Αργος Schol. Ven. A Hom. Δ 171

Strabo VIII p. 371 τὴν μὲν χώραν συγχωροῦσιν εὐυδρεῖν, αὐτὴν δὲ τὴν πόλιν ἐν ἀνύδρῳ χωρίῳ κεῖσθαι, φρεάτων δ' εὐπορεῖν. ἃ ταῖς Δαναΐσιν ἀνάπτουσιν, ὡς ἐκείνων ἐξευρουσῶν, ἀφ' οὗ καὶ τὸ ἔπος εἰπεῖν τοῦτο '"Αργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν "Αργος ἔνυδρον'

idem VIII p. 370 περὶ δὲ τῶν μυθευομένων πηγῶν εἴρηται, διότι πλάσματα ποιητῶν ἐστί. πλάσμα δὲ καὶ τὸ '"Αργος ἄνυδρον ἐὸν Δαναοὶ θέσαν "Αργος ἔνυδρον'

25 (50)] Hecataeus in schol. Eurip. Orest. 872 ἡ πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς "Αργος, καθάπερ ἄλλοι τέ φασι καὶ Ἑκαταῖος γράφων οὕτως· 'ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς "Αργος, παῖδας δέ * * *, ὡς μὲν Ἡσίοδος ἐποίησε, πεντήκοντα, ὡς δὲ ἐγὼ λέγω, οὐδὲ εἴκοσι'

26 (51)] Strabo VIII p. 370 καὶ Ἀπολλόδωρος δὲ μόνους τοὺς ἐν Θετταλίᾳ καλεῖσθαί φησιν Ἕλληνας 'Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες', Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας, τὸν μὲν περὶ τῶν Προιτίδων λέγοντα ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ κτλ.

27 (52)] Apollodorus II 2, 1, 4 (p. 58, 4 W.) Ἀκρίσιος μὲν "Αργους βασιλεύει, Προῖτος δὲ Τίρυνθος. καὶ γίνεται Ἀκρισίῳ μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ δὲ ἐκ

---

24 Δαναὸς ποίησεν Eustathius (cf. schol. Ven. A Hom. Δ 171); Δαναοὶ θέσαν "Αργος Strabo, quae lectio alterius videtur recensionis esse ἔνυδρον Strabo, εὔυδρον Eustathius

25 παῖδας δὲ ⟨ἀπέστειλεν⟩ Kirchhoff; παῖδες δέ, ὡς μὲν Ἡσίοδος ἐποίησε, Weil; ⟨παῖδες δὲ αὐτοῦ· καὶ⟩ παῖδας μέν, ὡς μὲν Ἡσίοδος, ἐποίησε Wilamowitz δὲ ⟨ἐγὼ⟩ λέγω Kirchhoff, λέγων δὲ codd. MTA, ὡς ἐγὼ δὲ Weil εἴκοσι Weil, εἰσί codd. MA, ἔστι T

Σθενεβοίας Λυσίππη καὶ Ἰφινόη καὶ Ἰφιάνασσα· αὗται δέ, ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο . .

'Probus' comm. in Vergil. Buc. VI 48 *Proetides*] *Proeti filiae regis Argivorum. Hesiodus docet ex Proeto et Sthenoboea Amphidamantis natas. has, quod Iunonis contempserant numen, insania exterritas, quae crederent se boves factas patriam Argos reliquisse, postea a Melampode Amythaonis filio sanatas ita uti* * * *

28 (53)] *Εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος*

Suidas v. *μαχλοσύνη· κατωφέρεια, γυναικομανία· Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων· 'εἵνεκα — ἄνθος'*

cf. Schol. Ven. A Hom. Ω 25, unde sua Eustathius Hom. 1337, 34

29 (54)] *Καὶ γάρ σφιν κεφαλῆσι κατὰ κνύος αἰνὸν ἔχευεν·*
ἀλφὸς γὰρ χρόα πάντα κατέσχεθεν, ἐκ δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψιλοῦτο δὲ καλὰ κάρηνα

1—3 Eustathius Hom. 1746, 7 *ἐκ δὲ τοῦ ῥηθέντος κνύω καὶ 'κνύμα δακτύλων' προφέρει* (*Ἡρωδιανός*) *ἐκ τοῦ κωμικοῦ καὶ κνύος δὲ τὴν φθορὰν κατὰ γένος οὐδέτερον . . . . φέρων καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγου περὶ τῶν Προιτίδων. 'καὶ γάρ — κάρηνα'*

1. 3 Et. gen. v. *κνύζω· ἀφ' οὗ κνύος ἡ φθορὰ οἷον 'κατὰ — ἔχευεν·' 'ψίλωτο — κάρηνα'* cf. Et. Gud. 331, 2

---

27 *Λυσίππη τε καὶ Ἰφινόη καὶ Ἰφιάνασσα* versiculum panxit Wagner *uti* * * *] lacunam indicavit Keil, qui '*ait*' scribi volt

28 *ὤλεσεν* pars codd. Suidae, quod ex Aelian. Var. Hist. III 42 (scil. *ἡ τῆς Κύπρου βασιλίς*) praetulit Marckscheffel

29, 2 *κατέσχεθεν* Heinsius, *κατέσχεν* Eustathius, *κατήσχυν'*? Heyne *ἐκ* Lehmann, *ἐν* Eustathius 3 *ψιλοῦτο* dubitans Marckscheffel, *ψίλωτο* testes

1 Epim. Hom. in Anecd. Ox. I 226, 16 Cr. *ἀπὸ τοῦ κνύω Ἡσίοδος τὴν φθορὰν κνύος ὠνόμασε· 'καὶ γάρ — ἔχευεν'*

30 (55)] Schol. Ven. A et B Hom. *M* 292 *Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει· οὕτως τε τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ' οὕτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν βασιλεῖ· γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα Σαρπηδόνα καὶ Ῥαδάμανθυν. ἡ ἱστορία παρ' Ἡσιόδῳ καὶ Βακχυλίδῃ*

cf. Schol. Townl. Hom. l. c. Schol. Pseudeurip. Rhes. 29

31 (56)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 178 (p. 398, 26 K.) *Ἀγήνορος γὰρ παῖς ἐστιν (Φινεύς), ὡς Ἑλλάνικος· ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας*

cf. Schol. Laur. ibidem (p. 399, 2 K.)

32 (57)] Apollodorus III 14, 4, 1 (p. 159, 5 W.) *Ἡσίοδος δὲ αὐτὸν (Ἄδωνιν) Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει, Πανύασσις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν*

'Probus' comm. in Vergil. Buc. X 18 *Adonis*] (*ut*) *Hesiodus ait, Phoenicis et Alphesiboeae*

33 (58)] *Τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων*
μνήστευον καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν
ἴφθιμοι βασιλῆες, ἀπειρέσιον κατὰ εἶδος

---

30 *ἠράσθη*] *αὐτῆς* addit schol. Ven. B   *ἡ ἱστορία — Βακχυλίδῃ*] *ἱστορεῖ Ἡσίοδος* schol. Ven. B
33, 1 *Δημοδόκη,*> supplevit Cobet   *ἀνδρῶν* schol. Od. codd. EJ   2 *μνήστευον* Heyne, *ἐμνήστευον* schol. Iliad., *μνηστεύοντο* schol. Od.   *πολλὰ καὶ*] *πόλλ'* schol. Od.   3 *διὰ* Koechly coll. Hom. *λ* 282   *κάλλος* ex eodem Hom. loco Peppmüller

Σθενεβοίας Λυσίππη καὶ Ἰφινόη καὶ Ἰφιάνασσα· αὗται δέ, ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο . .

'Probus' comm. in Vergil. Buc. VI 48 *Proetides*] *Proeti filiae regis Argivorum. Hesiodus docet ex Proeto et Sthenoboea Amphidamantis natas. has, quod Iunonis contempserant numen, insania exterritas, quae crederent se boves factas patriam Argos reliquisse, postea a Melampode Amythaonis filio sanatas ita uti* * * *

28 (53)] *Εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος*

Suidas v. *μαχλοσύνη· κατωφέρεια, γυναικομανία· Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων· 'εἵνεκα — ἄνθος'*

cf. Schol. Ven. A Hom. Ω 25, unde sua Eustathius Hom. 1337, 34

29 (54)] *Καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν·*
ἀλφὸς γὰρ χρόα πάντα κατέσχεθεν, ἐκ δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψιλοῦτο δὲ καλὰ κάρηνα

1—3 Eustathius Hom. 1746, 7 *ἐκ δὲ τοῦ ῥηθέντος κνύω καὶ 'κνύμα δακτύλων' προφέρει (Ἡρωδιανός) ἐκ τοῦ κωμικοῦ καὶ κνύος δὲ τὴν φθορὰν κατὰ γένος οὐδέτερον . . . . φέρων καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγου περὶ τῶν Προιτίδων. 'καὶ γάρ — κάρηνα'*

1. 3 Et. gen. v. *κνύζω· ἀφ' οὗ κνύος ἡ φθορὰ οἷον 'κατὰ — ἔχευεν·' 'ψίλωτο — κάρηνα'* cf. Et. Gud. 331, 2

---

27 *Λυσίππη τε καὶ Ἰφινόη καὶ Ἰφιάνασσα* versiculum panxit Wagner *uti* * * *] lacunam indicavit Keil, qui '*ait*' scribi volt

28 *ὤλεσεν* pars codd. Suidae, quod ex Aelian. Var. Hist. III 42 (scil. *ἡ τῆς Κύπρου βασιλίς*) praetulit Marckscheffel

29, 2 *κατέσχεθεν* Heinsius, *κατέσχεν* Eustathius, *κατήσχυν'*? Heyne *ἐκ* Lehmann, *ἐν* Eustathius 3 *ψιλοῦτο* dubitans Marckscheffel, *ψίλωτο* testes

1 Epim. Hom. in Anecd. Ox. I 226, 16 Cr. *ἀπὸ τοῦ κνύω Ἡσίοδος τὴν φθορὰν κνύος ὠνόμασε· ʽκαὶ γάρ — ἔχευενʼ*

30 (55)] Schol. Ven. A et B Hom. *M* 292 *Εὐρώπην τὴν Φοίνικος Ζεὺς θεασάμενος ἔν τινι λειμῶνι μετὰ νυμφῶν ἄνθη ἀναλέγουσαν ἠράσθη καὶ κατελθὼν ἤλλαξεν ἑαυτὸν εἰς ταῦρον καὶ ἀπὸ τοῦ στόματος κρόκον ἔπνει· οὕτως τε τὴν Εὐρώπην ἀπατήσας ἐβάστασε καὶ διαπορθμεύσας εἰς Κρήτην ἐμίγη αὐτῇ· εἶθ' οὕτως συνῴκισεν αὐτὴν Ἀστερίωνι τῷ Κρητῶν βασιλεῖ· γενομένη δὲ ἔγκυος ἐκείνη τρεῖς παῖδας ἐγέννησε, Μίνωα Σαρπηδόνα καὶ Ῥαδάμανθυν. ἡ ἱστορία παρ' Ἡσιόδῳ καὶ Βακχυλίδῃ*

cf. Schol. Townl. Hom. l. c. Schol. Pseudeurip. Rhes. 29

31 (56)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 178 (p. 398, 26 K.) *Ἀγήνορος γὰρ παῖς ἐστιν (Φινεύς), ὡς Ἑλλάνικος· ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας*

cf. Schol. Laur. ibidem (p. 399, 2 K.)

32 (57)] Apollodorus III 14, 4, 1 (p. 159, 5 W.) *Ἡσίοδος δὲ αὐτὸν (Ἄδωνιν) Φοίνικος καὶ Ἀλφεσιβοίας λέγει, Πανύασσις δέ φησι Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν*

ʽProbusʼ comm. in Vergil. Buc. X 18 *Adonis*] (*ut*) *Hesiodus ait, Phoenicis et Alphesiboeae*

33 (58)] *Τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων*
μνήσ[illegible]ευον καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν
ἴφθιμοι βασιλῆες, ἀπειρέσιον κατὰ εἶδος

---

30 *ἠράσθη*] *αὐτῆς* addit schol. Ven. B *ἡ ἱστορία — Βακχυλίδῃ*] *ἱστορεῖ Ἡσίοδος* schol. Ven. B

33, 1 *Δημοδόκη*,⟩ supplevit Cobet *ἀνδρῶν* schol. Od. codd. EJ **2** *μνήστευον* Heyne, *ἐμνήστευον* schol. Iliad., *μνηστεύοντο* schol. Od. *πολλὰ καὶ*] *πόλλ'* schol. Od. **3** *διὰ* Koechly coll. Hom. *λ* 282 *κάλλος* ex eodem Hom. loco Peppmüller

Porphyrius Quaest. Hom. ad Iliad. pert. p. 189, 22 Schr. (= Schol. Ven. B Hom. Ξ 200) de voce *ἀπειρέσιος* agens *σημαίνει δὲ καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν γυναικῶν Καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδὸς Δημοδόκης, 'τὴν πλεῖστοι — εἶδος'* cf Schol. Ambr. Hom. *α* 98

34 (61)] Apollodorus III 5, 6, 2 (p. 120, 8 W.) *Ἡσίοδος δὲ δέκα μὲν υἱούς, δέκα δὲ θυγατέρας (Ἀμφίονος καὶ Νιόβης), Ἡρόδωρος δὲ δύο μὲν ἄρρενας, τρεῖς δὲ θηλείας, Ὅμηρος δὲ ἓξ μὲν υἱούς, ἓξ θυγατέρας φησὶ γενέσθαι*

Aelianus Var. Hist. XII 36 *ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις. Ὅμηρος μὲν ἓξ λέγει ἄρρενας καὶ τοσαύτας κόρας, Λᾶσος δὲ δὶς ἑπτὰ λέγει, Ἡσίοδος δὲ ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα κατέψευσται αὐτοῦ. Ἀλκμὰν δέκα φησί, Μίμνερμος εἴκοσι καὶ Πίνδαρος τοσούτους*

35 (62)] Schol. Townl. Hom. Ψ 679 *καὶ Ἡσίοδος δέ φησιν ἐν Θήβαις αὐτοῦ (Οἰδίποδος) ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν τοῦ Οἰδίποδος*

36 (63)] *Εἰλαρίδην Τιτυόν*

Herodianus (II 387, 17 L.) in Et. mag. de formis *Ἐλάρα* et *Ἀλέρα*: *ὅτι δὲ τὸ πρῶτον ἐστὶν ἀληθές, πίστις τούτου ἐκ τοῦ παρ' Ἡσιόδῳ μετὰ προσθήκης τοῦ ι λέγεσθαι τὸ πατρωνυμικόν. Εἰλαρίδην γάρ φησι Τιτυόν. καθ' ὑπέρθεσιν ἄρα τὸ Ἀλέρα γέγονεν· οὕτως Ἡρωδιανός*

---

34 alterum testimonium ad Ehoeas, alterum ad Catalogum rettulit Marckscheffel, quae carmina diversa fuisse persuasum habuit; in Apollodoro *Ἡσίοδος δὲ* ⟨*υἱοὺς μὲν ἐννέα, θυγατέρας δὲ δέκα, Μίμνερμος δὲ*⟩ *δέκα μὲν υἱούς* scribit Sittl
36 *Εἰλαράδην* Boeckh

37 (64)] Ὅς τε Λιλαίηθεν προΐει καλλίρροον ὕδωρ

Schol. Ven. A Hom. *B* 522 ὁ δὲ Κηφισὸς ποταμός ἐστι τῆς Φωκίδος ἔχων τὰς πηγὰς ἐκ Λιλαίας, ὥς φησιν Ἡσίοδος 'ὅς τε — ὕδωρ'

cf. Schol. Ven. B Hom. *B* 523 et Eustathius Hom. 275, 16

38 (65)] Ὅς τε παρὲκ Πανοπῆα διὰ Γλήχωνά τ' ἐρυμνὴν
καί τε δι' Ἐρχομενοῦ εἰλιγμένος εἶσι δράκων ὥς

1 sq. Strabo IX 424 de Cephiso καὶ Ἡσίοδος δ' ἐπὶ πλέον περὶ τοῦ ποταμοῦ λέγει καὶ τῆς ῥύσεως, ὡς δι' ὅλης ῥέοι τῆς Φωκίδος σκολιῶς καὶ δρακοντοειδῶς 'ὅς — ὥς'

2 Schol. Arati 45 (p. 349, 13 M.) . . καὶ ἐν τούτῳ δὲ Ἡσιόδου ζηλωτὴς φαίνεται (Ἄρατος)· ἐκεῖνος γὰρ ποταμὸν εἴκασε δράκοντι εἰπών 'καί τε — ὥς', οὗτος δὲ τοὐναντίον δράκοντα ποταμῷ ἀπείκασεν

39 (66)] Argum. Pind. Ol. XIV inscr. c Dr. Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος. διὰ δὲ τοῦ Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ

40 (67)] Schol. Townl. Hom. *H* 9 ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρηΐθοος Βοιωτὸς ἦν κατοικῶν Ἄρνην· ἔστι δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν

---

37 ὥστε cod. Ven. A Λιλαίηθεν Eustathius, λιλαίησι cod. Ven. A προΐει cod. Ven. A, προιεῖ Goettling, προχέει Eustathius, cf. Hymn. Hom. Apoll. Pyth. 63

38 cum fr. 37 coniunxit Hermann 1 ὅς τε anteposui; παρὲκ Πανοπῆα διὰ Meineke; ὃς παρὰ πανοπίδα, παρὲκ? πανοπη διὰ (vel πανοπιδιὰ) codd. Strabonis; ὃς παρὰ μὲν Πανοπῆα ῥέει vel ὃς παρὰ Πανοπίδα προρέει Voss, καὶ παρὰ Πανοπίδα Hermann, παρὲκ Πανόπην δῖαν Madvig 2 τε schol. Arati, δὲ Strabo δι' Ἐρχομενοῦ Strabo, διερχομένου Arati scholior. cod. M, διερχόμενος cod. A εἰλιγμένος Strabo, ἠπειγμένος (-ως cod. A) schol. Arati

δράκοντα ποταμῷ Klouček, δράκοντι ποταμὸν schol. Arati

41 (68)] Stephanus Byz. v. *Ὀγχηστός· ἄλσος· . . κεῖται δὲ ἐν τῇ Ἁλιαρτίων χώρᾳ, ἱδρυθὲν δὲ ὑπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ, ὥς φησιν Ἡσίοδος*

42 (69)] Stephanus Byz. v. *Αἰγά· . . ἔστι καὶ Αἰγαῖον πεδίον συνάπτον τῇ Κίρρᾳ, ὡς Ἡσίοδος. λέγεται παρὰ Αἰγᾶν ποταμὸν φερόμενον ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους, ἀφ' οὗ καὶ τὸ πεδίον Αἰγαῖον*

43 (70)] Apollodorus II 1, 1, 5 (p. 50, 14 W.) *Νιόβης δὲ καὶ Διός, ᾗ πρώτῃ γυναικὶ Ζεὺς θνητῇ ἐμίγη, παῖς Ἄργος ἐγένετο, ὡς δὲ Ἀκουσίλαός φησι, καὶ Πελασγός, ἀφ' οὗ κληθῆναι τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Πελασγούς. Ἡσίοδος δὲ τὸν Πελασγὸν αὐτόχθονά φησιν εἶναι*

cf. idem III 8, 1, 1 (p. 134, 3 W.) et Servius in Vergil. Aen. II 83

44 (71)] *Υἱέες ἐξεγένοντο Λυκάονος ἀντιθέοιο,*
ὅν ποτε τίκτε Πελασγός

Strabo V p. 221 *τῷ δ' Ἐφόρῳ τοῦ ἐξ Ἀρκαδίας εἶναι τὸ φῦλον τοῦτο (τοὺς Πελασγούς) ἦρξεν Ἡσίοδος. φησὶ γὰρ 'υἱεῖς — Πελασγός'*

45 (72)] Stephanus Byz. v. *Παλλάντιον· πόλις Ἀρκαδίας, ἀπὸ Πάλλαντος, ἑνὸς τῶν Λυκάονος παίδων, ὡς Ἡσίοδος*

46 (73)] *Φέλλον ἐυμμελίην τέκετο κλειτὴ Μελίβοια*

Herodianus *περὶ μον. λέξ.* p. 11 (II 918, 7 L.) *Φέλλος τὸ κύριον, Ἡσίοδος 'Φέλλον — Μελίβοια'*

---

42 *Αἰγᾶν* Meineke, *αἶγαν* codd.
44, 1 *υἱέες* scripsi, *υἱεῖς* codd. *ἐξεγένοντο* Coraes, *ἐξ ἐγένοντο* codd.
46 *τέκετο κλειτὴ* Hermann, *τέκε τῇ μελιβοίᾳ* cod., *τέκε τηλύγετον Μελίβοια* Emperius, *τηλεκλειτὴ Μελίβοια* Lehrs, *τέκετ' Αἰγείδῃ Μελίβοια* Bergk

47 (74)] *Οἳ πρόσθε φανὴν ἔντοσθεν ἔκευθον*

Herodianus *περὶ μον. λέξ.* p. 18 (II 924, 20 L.) *τὰ διὰ τοῦ ανη ἐκφερόμενα θηλυκὰ μονογενῆ ὑπὲρ δύο συλλαβὰς πάντα βαρύνεται . . . ἀλλὰ μόνον τὸ μηχανὴ σημειοῦται ὀξυνόμενον. προσέθηκα ὑπὲρ δύο συλλαβὰς διὰ τὸ 'φανή' παρ' Ἡσιόδῳ ἐν δευτέρῳ (Καταλόγῳ) εἰρημένον 'οἳ — ἔκευθον'*

48 (75)] *Νοῦθος δὲ ποδῶν ὑπόδουπος ὀρώρει*

Herodianus *περὶ μον. λέξ.* p. 42 (II 947, 26 L.) *νοῦθος κύριον, ψόφος ἐν οὔδει. Ἡσίοδος ἐν τρίτῳ (Καταλόγῳ) 'νοῦθος — ὀρώρει'*

49 (76)] *Σφὶν δ' αὐτοῖς μέγα πῆμα*

Apollonius Dysc. de pron. p. 125 A B. *ὑπὸ γὰρ Ἡσιόδου ἐν ἀρχῇ τεθεῖσα (ἡ 'σφίν') εὐλόγως ὠρθοτονήθη ἐν τρίτῳ (Καταλόγῳ) 'σφὶν δ' — πῆμα'*
cf. Epim. in Anecd. Ox. I 388, 21 Cr.

50 (77)] Schol. Laur. Apoll. Rhod. Arg. *Α* 45 *οὔτε Ὅμηρος οὔτε Ἡσίοδος οὔτε Φερεκύδης λέγουσι τὸν Ἴφικλον σὺν τοῖς Ἀργοναύταις*

51 (169)] Pseuderatosthenes Catast. XIX p. 124 R. = p. 23, 6 Ol. (= Schol. Arati p. 221 b 13 M.) *Κριός] οὗτος ὁ Φρίξον διακομίσας καὶ Ἕλλην· ἄφθιτος δὲ ὢν ἐδόθη αὐτοῖς ὑπὸ Νεφέλης τῆς μητρός· εἶχε δὲ χρυσῆν δοράν, ὡς Ἡσίοδος καὶ Φερεκύδης εἰρήκασιν*

cf. Schol. Basil. Germanic. Arat. p. 79, 18 Br. Schol. Arati p. 221 a 13 M. 'Hyginus' Astron. II 20

---

48 *ὑπόδουπος* Lehrs, *ὕπο δοῦπος* cod. *νοῦθος* ⟨*ὁ*⟩ *κύριος* Ludwich, *κύριον* ⟨*καὶ*⟩ Lehrs
49 ad Oper. 56 referebat Schaefer *τ'* Anecd. Ox.
51 fragmento in Ehoeis locum assignavit Robert *ἐδόθη* Fellus, *ἐδέθη* libri

praeterea v. Schol. Sangerm. Germanic. Arat. p. 142, 20 Br. et Schol. Strozz. Germanic. Arat. p. 142, 8 Br.

52 (78)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 181 *πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν, ἐν δὲ τῷ γ̄ Καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν*

cf. Et. gen. v. *ὀπίζεσθαι* (Reitzenstein Ind. lect. Rostoch. hib. 1891/2 p. 15)

53 (79)] Schol. Paris. Apoll. Rhod. Arg. *B* 181 *παῖδας δέ φησιν αὐτῷ (τῷ Φινεῖ) γενέσθαι Ἡσίοδος δύο, Θυνὸν καὶ Μαριανδυνόν* v. schol. Laur. l. c. et *B* 140

cf. Et. gen. v. *ὀπίζεσθαι* (Reitzenstein l. c.)

54 (231)] *Γλακτοφάγων ἐς γαῖαν ἀπήνας οἰκί' ἐχόντων*

Ephorus ap. Strabon. VII p. 302 de Scythis narrat: *εἶναι γάρ τινας τῶν νομάδων Σκυθῶν γάλακτι τρεφομένους ἵππων τῇ τε δικαιοσύνῃ πάντων διαφέρειν· μεμνῆσθαι δ' αὐτῶν τοὺς ποιητάς . . . Ἡσίοδον δ' ἐν τῇ καλουμένῃ γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι 'Γλακτοφάγων — ἐχόντων'*

55 (232)] *Αἰθίοπάς τε Λίγυς τε ἰδὲ Σκύθας ἱππημολγούς*

Strabo VII p. 300 *πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητής, ἱππημολγοὺς καὶ γαλακτοφάγους τινὰς προσαγορεύων; ὅτι γὰρ οἱ τότε τούτους ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος μάρτυς ἐν τοῖς ὑπ' Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν· 'Αἰθίοπας — ἱππημολγούς'*

---

52 *γ̄ καταλόγων* Keil
53 suspicionem movet Sittlio
54 *ἐς γαῖαν* Lehrs, *εἰς αἶαν* Strabonis codd. *ἀπήνας* Porson, *ἀπήναις* codd. *ἐν — περιόδῳ*] *ἐν καταλόγων τρίτῳ* Kirchhoff; oblocutus est Niese
55 in Catalogo collocavit Marckscheffel *τε λιγυστὶ δὲ* Strabonis codd., *Λίγυάς τε ἰδὲ* Naeke

Herodianus *περὶ διχρόν*. II 16, 30 L. '*Σκύθας*' ultima correpta affert

56 (80)] Apollodorus I 9, 21, 6 (p. 41, 17 W.) *διωκομένων δὲ τῶν Ἁρπυιῶν ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται· ταύτην δὲ οἱ μὲν Νικοθόην, οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι Ὠκυθόη (Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην), αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα μέχρι Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται*

57 (81)] *Ἔνθ' οἵ γ' εὐχέσθην Αἰνηίῳ ὑψιμέδοντι*

Schol. Laur. Apoll. Rhod. Arg. *B* 297 *ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες λέγει καὶ Ἡσίοδος 'ἔνθ' — ὑψιμέδοντι'· ἔστι γὰρ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν*

58 (82)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 297 *Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ἑρμῆν*

59 (83)] Schol. Laur. Apoll. Rhod. Arg. *B* 296 *οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διὶ καταλαβεῖν τὰς Ἁρπυίας. κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται*

60 (84)] Philodemus *περὶ εὐσεβ*. 10 G. *οὐ⟩δ' Ἡσιόδῳ μή τ⟨ις ἐ⟩γ⟨γ⟩ελᾷ, ὅς γ. . . . .αι ο. .ν ἢ ⟨καὶ τ⟩ῶν Κατουδα⟨ίων κ⟩αὶ τῶν Πυ⟨γμ⟩αί⟨ων μνημονεύει*

---

56 ad Theog. 267 pertinere suspicatur Sittl *Ὠκυθόη*] *Ὠκυρόη* e pap. B Theogoniae (cf. ad v. 267) Kenyon
57 *Αἰνησίῳ* Heringa
60 *Ἡσιόδῳ* Bergk, ΗCΙΟΔΗ papyrus *ἐ⟩ν⟨γ⟩ελᾷ* Bergk, ·ΝΜΕΛΑΙ pap. Γ····ΑΙΘ···Ι pap.; *γ⟨ρυπῶν κ⟩αὶ δ⟨νω⟩ν* dubitans Bergk ... *Πυ⟨γμ⟩αί⟨ων* Gomperz, *μνημονεύει* add. Bergk

Harpocration Suidas Photius v. *ὑπὸ γῆν οἰκοῦντες· λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ̄ Καταλόγου Κατουδαίους ὀνομαζομένους*

61 (85)] Schol. Medic. Aeschyl. Prom. 830 *πρῶτος Ἡσίοδος ἐτερατεύσατο τοὺς γρῦπας*

62 (86)] Strabo I p. 43 *Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους*

idem VII p. 299 *καὶ γὰρ τοὺς ἔτι νεωτέρους ἐκείνου* (*Ὁμήρου*) *πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν, Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους* . .

Harpocration v. *Μακροκέφαλοι· ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ̄ γυναικῶν Καταλόγῳ*

Stephanus Byz. v. *Ἡμίκυνες· ἔθνος οὐ πόρρω Μασσαγετῶν καὶ Ὑπερβορέων . . . καὶ Ἡσίοδος·*

63 (87)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 284 *Ἡσίοδος δὲ διὰ Φάσιδος αὐτοὺς* (*τοὺς Ἀργοναύτας*) *εἰσπεπλευκέναι* (*εἰς τὴν θάλασσαν*) *λέγει. Ἑκαταῖος δὲ ἐλέγχων αὐτὸν ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδὲ διὰ Ταναΐδος ἐκπλεῦσαι, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον*

64 (88)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 259 *Ἡσίοδος δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις καὶ Ἀντίμαχος ἐν Λύδῃ διὰ τοῦ Ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς* (*τοὺς Ἀργοναύτας*) *εἰς Λιβύην καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι*

---

61 *Ἡσίοδος*] *Ἡρόδοτος* Reiz; adversatus est Bergk

62 *Μεγαλοκεφάλους*] an hic quoque *Μακροκεφάλους*? post *Ἡσίοδος* in Stephano verba poetae videntur excidisse

63 *Ἡσίοδος*] *Ἑκαταῖος* Bergk *Ἑκαταῖος*] *Ἀρτεμίδωρος* Bergk *ἐκπλεῦσαι* Keil, *ἔπλευσαν* cod.

65 (89)] Strabo I p. 23 *Ἐρατοσθένης δὲ Ἡσίοδον μὲν εἰκάζει πεπυσμένον περὶ τῆς Ὀδυσσέως πλάνης ὅτι κατὰ Σικελίαν καὶ Ἰταλίαν γεγένηται, πιστεύσαντα τῇ δόξῃ μὴ μόνον τῶν ὑφ' Ὁμήρου λεγομένων μεμνῆσθαι, ἀλλὰ καὶ Αἴτνης καὶ Ὀρτυγίας τοῦ πρὸς Συρακούσαις νησίου καὶ Τυρρηνῶν, Ὅμηρον δὲ μήτε εἰδέναι ταῦτα μήτε βούλεσθαι ἐν γνωρίμοις τόποις ποιεῖν πλάνην*

66 (90)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 311 *ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην, ὧν ἀρχηγὸς Ἡσίοδος κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει*

67 (91)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 311 *φησὶ δὲ Ἀπολλώνιος Ἡσιόδῳ ἑπόμενος ἐπὶ τοῦ ἅρματος τοῦ Ἡλίου εἰς τὴν κατὰ Τυρρηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν· ἑσπερίαν δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμὰς κεῖται*

68 (92)] *Νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων*
Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 892 *καλὴν Ἀνθεμόεσσαν] ἠκολούθησεν Ἡσιόδῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων 'νῆσον — Κρονίων'. ὀνόματα δὲ αὐτῶν Θελξιόπη ἢ Θελξινόη, Μολπή, Ἀγλαόφωνος*

69 (93)] Schol. Hom. *μ* 168 *ἐντεῦθεν Ἡσίοδος καὶ τοὺς ἀνέμους θέλγειν αὐτὰς (τὰς Σειρῆνας) ἔφη*
cf. Schol. Hom. *μ* 169 Eustathius Hom. 1710, 39

70 (94)] *Πόν⟩τον δ' Ὠγύλιον ἠδ' Ὠγυλίην . . . . νῆσον*
Schol. Hom. *α* 85 *Ὠγυγίην] ἐν τῇ κατὰ Ἀντίμαχον Ὠγυλίην γράφεται· διαφέρουσι δὲ οἱ τόποι. τὴν μὲν γὰρ*

---

67 Hesiodi nomen errore commemorari arbitratur Seeliger **70** cf. Ludwich JbfPh. 1888 p. 241 sqq. Berl. phil. Wochenschr. 1905 c. 684 sq. *πόν⟩τον* Ludwich, *τὸν* codd., cf. Fr. 96,20 *Ὠγυλίην* Ludwich, *ὠγύλη* codd.; post spatium quattuor fere litterarum in H *Ὠγυλίην] ὠγυγίη* M¹P

Ὠγυγίαν ἐντὸς εἶναι πρὸς ἑσπέραν, τὴν δὲ Ὠγυλίαν κατὰ Κρήτην Ἡσίοδός φησι κεῖσθαι· '⟨πόν⟩τον — νῆσον'. ταύτην δὲ ⟨εἰσὶν⟩ οἳ Καυδοὺς καλοῦσιν

71 (95)] Schol. Hom. *η* 54 *ὅτι Ἡσίοδος ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπέλαβεν*

cf. Eustathius Hom. 1567, 64

72 (96)] Stephanus Byz. v. *Ὑπερησία· πόλις τῆς Ἀχαΐας .... τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεύς, καὶ θηλυκὸν Ὑπερησὶς παρ' Ἡσιόδῳ*

73 (97)] *Τὴν δ' Ἀμαρυγκεΐδης Ἱππόστρατος, ὄζος Ἄρηος,*

* * *

Φυκτέος ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν

Schol. Pind. Ol. X 46 *ἐὰν πόλιν] τὴν πόλιν φασὶ καλεῖσθαι Φύκτεον ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος οὕτω· 'τὴν — ἀνδρῶν'*

Apollodorus I 8, 4, 1 (p. 26, 20 W.) *Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου· ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι*

Ὠγυγίαν] ὠγυγίην H¹M¹Q *Ὠγελίαν* P *Κρήτην]* reliqua addit H, om. Q *κεῖσθαι]* reliqua om. M¹; Mᵃ addit '*λέγεται* (in ras.) *δὲ ὀνοματικῶς ἡ καλυψοῦς νῆσος*' *νῆσον· ταύτην δὲ* H, *νῆσον δὲ ταύτην* P ⟨*εἰσὶν*⟩ Wilamowitz *Καυδοὺς* Wilamowitz, *καυλοὺς* H, *καλοὺς* P

71 ad Ehoeas rettulit Bergk

73 post 1 versum excidisse vidit Heyne 2 *Φυκτέος* Heinsius, *φυκτέως* cod. B, *φυκτεὺς ὄρχαμος ἀνδρῶν* codd. CDEQ, *Φυτέος* Wellmann et Lübbert *Φύτεον* iidem

74 (98)] *Οἴκεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθας*
Πείρου ἐυρρεέος

1 sq. Strabo VIII p. 342 *ὁ δὲ Τευθέας εἰς τὸν Ἀχελῷον ἐμβάλλει τὸν κατὰ Δύμην ῥέοντα, ὁμώνυμον τῷ κατὰ Ἀκαρνανίαν, καλούμενον καὶ Πεῖρον. τοῦ δ' Ἡσιόδου εἰπόντος 'ᾤκεε — Πείροιο' μεταγράφουσί τινες 'Πώροιο' οὐκ εὖ*

1 Stephanus Byz. v. *Ὤλενος .... τὸ θηλυκὸν Ὠλενία· Ἡσίοδος 'ᾤκεε — ποταμοῖο ⟨παρ' ὄχθας⟩'*
cf. Eustathius Hom. 882, 66

75 (99)] Diodorus V 81 *μετὰ δὲ ταῦτα (τὸν κατὰ Δευκαλίωνα κατακλυσμὸν) Μακαρεὺς εἰς αὐτὴν (τὴν Λέσβον) ἀφικόμενος καὶ τὸ κάλλος τῆς χώρας κατανοήσας κατῴκησεν αὐτήν. ἦν δ' ὁ Μακαρεὺς υἱὸς μὲν Κρινάκου τοῦ Διός, ὥς φησιν Ἡσίοδος καὶ ἄλλοι τινὲς τῶν ποιητῶν, κατοικῶν δ' ἐν Ὠλένῳ τῆς τότε μὲν Ἰάδος, νῦν δ' Ἀχαΐας καλουμένης*
cf. Schol. Townl. Hom. *Ω* 544

76 (100)] *Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην.*
αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
οἳ δή τοι πρῶτοι ζεῦξαν νέας ἀμφιελίσσας,
πρῶτοι δ' ἱστί' ἔθεν νηὸς πτερὰ ποντοπόροιο

---

74 de Periboea agi opinatur Ruhnken 1 *οἴκεε* scripsi, *Ϝοίκεε* Flach, *ᾤκεε* testes 2 *Πείρου ἐυρρεέος* Nauck, *εὐρῆος Πείροιο* Strabo, *Πώροιο* quidam teste eodem (*Πιέροιο* ex Pausan. VII 22, 1 Meineke), *εὐρεέος Πείροιο* olim conieci

76, 4 *ἔνδοθεν* cod. Laur. D scholiorum Pind. Nem., *ἔνδοθε* codd. aliquot Tzetzae 6 *πρῶτοι* pars codd. Tzetzae; *πρῶτον* scholia Pind. Ol. et Nem. Tzetzae codd. cett. *τεῦξαν* schol. Pind. Ol. 7 *ἱστί' ἔθεν νηὸς* Boeckh; *ἱστία θέσαν νεὼς* codd.; *ἐστόλισαν νηὸς* (ex Op. 628) Goettling

1—6 Schol. Pind. Nem. III 21 *περὶ τῶν Μυρμιδόνων Ἡσίοδος μὲν οὕτω φησίν· ‘ἡ δ’ — ἀμφιελίσσας’* cf. Tzetzes in Lycophr. 176

6. 7 Schol. Pind. Ol. VIII 26 *Ἡσίοδος· ‘οἳ — ποντοπόροιο’*

77 (101)] *Αἰακίδας* (?) *πολέμῳ κεχαρηότας* (?) *ἠύτε δαιτί*

Polybius V 2 *λειτουργοί γε μὴν περὶ τὰς ταφρείας καὶ χαρακοποιίας καὶ πᾶσαν τὴν τοιαύτην ταλαιπωρίαν φιλοπονώτατοί τινες, οἵους Ἡσίοδος παρεισάγει τοὺς ‘Αἰακίδας, πολέμῳ κεχαρηότας ἠύτε δαιτί’* cf. Suidas v. *δαῖτας*

Maximus Tyrius XXXV 2 *Ὁμήρου δὲ οὐκ ἀκούεις ἐγκωμιάζοντος τοὺς Αἰακίδας, ὅτι ἦσαν ἄνδρες πολέμῳ κεχαρηότες ἠύτε δαιτί;*

78 (37)] Porphyrius Quaest. Hom. ad Iliad. pertin. p. 93, 17 Schr. (= Schol. Ven. B Hom. *Z* 164) *συντόμως δὲ τὰ αἰσχρὰ δεδήλωκε ‘μιγῆναι οὐκ ἐθελούσῃ’, ἀλλ’ οὐχ ὥσπερ Ἡσίοδος τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάστου γυναικὸς διὰ μακρῶν ἐπεξελθών*

cf. Schol. Laur. Apoll. Rhod. Arg. *A* 224 Schol. Pind. Nem. IV 92 Gellius Noct. Att. III 11, 5

79 (38)] *Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,*
αὐτὸν μὲν σχέσθαι, κρύψαι δ’ ἀδόκητα μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις,
ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
αἶψ’ ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη

Schol. Pind. Nem. IV 95 enarrata Daedali et Acasti historia *ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως· ‘ἥδε — δαμείη’*

---

77 cf. Nauck MGrR. IV 389 Sittl Wien. St. XII 50 sq.

78 *αἰσχρὰ* Reitzenstein, *ἀρχαῖα* cod. *Ἀκάστου* G. Dindorf, *ἀκάτου* cod. *διὰ μακρῶν* Bergk, *διὰ μικρῶν* cod.

79, 2 *αὐτοῦ* Heyne *σχέσθαι*] *εὔχεσθαι* codd. BV, *αἴχεσθαι* D *ἀδοκητὶ* Er. Schmid

80] Volum. Herculan. coll. alt. VIII 105 .... ⟨ὁ δὲ τ⟩ὰ Κύπ⟨ρια ποιήσας Ἥ⟩ρᾳ χαρ⟨ιζομένη⟩ν (Θέτιν) φεύγειν αὐ⟨τοῦ⟩ (τοῦ Διὸς) ⟨τὸ⟩ν γάμον, Δ⟨ία δὲ ὀμ⟩όσαι χολω⟨θέντ⟩α διότι θνη⟨τῷ συ⟩νοικίσει. κα⟨ὶ παρ' Ἡ⟩σιόδῳ δὲ κε⟨ῖται τ⟩ὸ παραπλήσ⟨ιον

81 (102)] * * *

Φθίην ἐξίκετο, μητέρα μήλων,
πολλὰ κ⟩τήματ' ἄγων ἐξ εὐρυχόρου Ἰαωλκοῦ
Πηλεὺς⟩ Αἰακίδης, φίλος ἀθανάτοισι θεοῖσιν,
λαοῖσιν⟩ δὲ ⟨ἰδ⟩οῦσιν ἀγαίετο θυμὸς ἅπασιν,
153 *Ἐπιγράμμασιν*] *ἔπεσιν* Sakolowski

αὐτὰς ἐλαύνων διά τε Πελασγῶν καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας. καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον ὄρος ἐπορεύετο καὶ παρὰ τὸ Μαινάλιον καὶ τὰς λεγομένας Βάττου σκοπιάς. ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῳ σκοπέλῳ καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκείων ἔγνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει· καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν. Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν καὶ πειρώμενος, εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει. διδοὺς δὲ μισθὸν χλαῖναν ἐπυνθάνετο παρ' αὐτοῦ, εἰ μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς δὲ χαλεπήνας, ὅτι διχόμυθος ἦν, ἐρράπισεν αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος παρ' ὁδευόντων ἄχρι νῦν σκοπιαὶ Βάττου

ΚΗΥΚΟΣ ΓΑΜΟΣ

154 (178)] Schol. Laur. Apoll. Rhod. Arg. *Α* 1289 Ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι (τοῖς Ἀργοναύταις) αὐτόν (τὸν Ἡρακλέα) τε καί τινας ἄλλους. Ἡσίοδος ἐν τῷ Κήυκος γάμῳ ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν τῆς Μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφετὰς καλουμένας ἀπολειφθῆναι

153 ὑλακὴν Jacobs, φυλακὴν cod. P τῳ O. Schneider, τῷ cod. παρ' ὁδευόντων Bast, παροδευόντων cod., ⟨ὑπὸ τῶν⟩ παροδευόντων Oder σκοπιαὶ O. Schneider, σκοπιὰ cod.
154 περὶ Keil, παρὰ cod. Laur.

155] *Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴενται*

Zenobius II 19 *οὕτως Ἡσίοδος ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτήσαντος ἐπὶ τὴν οἰκίαν Κήυκος τοῦ Τραχινίου καὶ οὕτως εἰπόντος 'αὐτόματοι — ἴενται'* cf. idem II 46

156 (179)] *Ἰδὼν δ' ἱππηλάτα Κῆυξ*

Schol. Ven. A Hom. Ξ 119 *ὁ δὲ ἱππότης ἄρα οὐ φυγάς, ἀλλ' ἱππικός. καὶ ὁ Ἡσίοδος δὲ οὕτως ἀκήκοεν· 'ἰδὼν — Κῆυξ' ἀντὶ τοῦ ἱππικός*

157 (177)] Athenaeus II p. 49 b *ὅτι Ἡσίοδος ἐν Κήυκος γάμῳ — κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι — τρίποδας τὰς τραπέζας φησί*

Pollux VI 83 *ἦσαν δέ τινες πρῶται τράπεζαι καὶ δεύτεραι καὶ τρίται καὶ τρίποδες μέν, ἐφ' ὧν ἔκειντο, καὶ ἔστι τοὔνομα παρ' Ἡσιόδῳ καὶ ἐν Τελμησσεῦσιν Ἀριστοφάνους*

158 (180)] *Αὐτὰρ ἐπεὶ δαιτὸς μὲν ἐίσης ἐξ ἔρον ἕντο,*
μητέρα μητρὸς ἄγοντο
αὐαλέην τε καὶ ὀπταλέην σφετέροισι τέκεσσι
τεθνάμεναι

---

155 cf. Crusius Anal. ad Paroem. 52 sq. *Ἡσίοδος* Schneidewin, *Ἡράκλειτος* Zenobius, *ὁ Βακχυλίδης* cod. Athous 15 (utrumque testimonium in archetypo scriptum fuisse arbitratur Crusius) *ἴενται*] *ἴασιν* Zenobius II 46
156 *Κῆυξ* Bekker, *κῆρυξ* cod.
158 cf. Bergk PLGr.[4] III 667 sq. Op. II 746, 59; 752, 3 Nauck MGrR. III 272 IV 391 1 *δαιτὸς μὲν ἐίσης* Bergk, *δ' αὐτοὶ μὲν κνίσσης* libri, *δαιτὸς μενοεικέος* Nauck 2 *μητρὸς* suspectum 3 *ἀζαλέην* cod. Bar. *τε* addidit Bergk *σφετέροισι τέκεσσι* dedi, *ἐφ' ἑτέροισι* (fuit olim ΣΦΕΤΕΡΟΙΣΙ) *τεκέεσσι* (*τέκεσι* Bar.) libri; *ἐπὶ σφετέροισι τέκεσσι* Nauck, *ἐπὶ σφετέροις τεκέεσσι* Bergk, quorum uterque verba in fine versus proximi collocabat 4 *τεθνάμεναι* Bergk, *τεθνάναι* libri

Plutarchus Mor. 730 f *καθάπερ οὖν τὸ πῦρ τὴν ὕλην ἐξ ἧς ἀνήφθη, μητέρα καὶ πατέρ' οὖσαν, ἤσθιεν, ὡς ὁ τὸν Κήυκος γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλὼν εἴρηκεν*

Incert. auctor *περὶ τρόπων* Rhet. gr. VIII 776 W. (III 224 Sp.) *αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς τὰ παρ' Ἡσιόδῳ περὶ τῆς κύλικος λεγόμενα 'μηδέ ποτ' — ὕπερθε'* (Op. 744), *'αὐτὰρ ἔντο' καὶ αὖ 'μητέρα — ὀπταλέην', ἐπεὶ δοκεῖ πρῶτα μὲν ξηραίνεσθαι, εἶτα ὀπτᾶσθαι· 'σφετέροισι τέκεσσι', τοῖς ἑαυτῆς τέκνοις, λέγει δὲ τοῖς ξύλοις· τὸ δὲ τεθνάναι, καθὸ δοκεῖ ἐκ τῆς ὕλης ἐκκεκόφθαι*

159 (181)] Iulianus or. ad Heracl. Cyn. (VII) p. 234 d *οὐκ οἶσθα, ὅτι καὶ ὁ Σαλμωνεὺς ἔδωκεν ὑπὲρ τούτων τοῖς θεοῖς δίκην, ὅτι ἄνθρωπος ὢν ἐπεχείρει Ζεὺς εἶναι; τὸ δὲ ἐκ τῶν Ἡσιόδου λεγόμενον ὑπὲρ τῶν ὀνομασάντων ἑαυτοὺς τοῖς τῶν θεῶν ὀνόμασιν, Ἥρας τε καὶ Διός, εἰ μήπω καὶ νῦν ἀκήκοας, ἔχω σοι συγγνῶναι*

de Ceyce et Alcyona, Salmonei sorore, agitur cf. Schol. Ven. A Hom. *I* 562 v. Apollodorus I 7, 4, 1

ΜΕΛΑΜΠΟΔΕΙΑ

160 (188)] *Θαῦμά μ' ἔχει κατὰ θυμόν, ἐρινεὸς ὅσσον ὀλύνθων*
οὗτος ἔχει μικρός περ ἐών· εἴποις ἂν ἀριθμόν;

* * *

μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος·

---

158 *περὶ* editor Cantabrig. ap. Walzium, *παρὰ* codd. *καὶ αὖ* Klouček, *καὶ* (*οἷον* Par.) *οὐ* codd. *ἑαυτῆς* Klouček, *ἑαυτοῦ* libri *ξύλοις* editor Cantabrig., *ξένοις* codd. *ἐκκεκόφθαι* Bar., *ἐκκόφθαι* unus e Paris., *εἰλῆφθαι* volgo

159 ad 'Ceycis nuptias', Catalogi partem, rettulit Wilamowitz

160, 1 *ὅσσον ὀλύνθων* Xylander, *ὅσους ὀλύνθους* libri 2 *σμικρός* Sittl post 2 quaedam omissa sunt

εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.
ὣς φάτο· καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου·
καὶ τότε δὴ Κάλχαντα τέλος θανάτοιο κάλυψεν

Strabo XIV p. 642 λέγεται δὲ ὁ Κάλχας ὁ μάντις μετ' Ἀμφιλόχου τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ Τροίας ἐπάνοδον πεζῇ δεῦρο ἀφικέσθαι, περιτυχὼν δ' ἑαυτοῦ κρείττονι μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς τῆς Τειρεσίου θυγατρός, διὰ λύπην ἀποθανεῖν. Ἡσίοδος μὲν οὖν οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα 'θαῦμα — ἀριθμόν;' τὸν δ' ἀποκρίνασθαι 'μύριοι — κάλυψεν'

cf. Apollodorus Epit. (Fragm. Sabb.) 6, 3 (p. 214, 13 W.)

161 (189)] Ζεῦ πάτερ, εἴθε μοι ἧσσον' ἔχειν αἰῶνα βίοιο
ὤφελλες δοῦναι καὶ ἴσα ⟨φρεσὶ⟩ μήδεα ἴδμεν
θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτισας,
ὃς μακρόν γέ μ' ἔθηκας ἔχειν αἰῶνα βίοιο
ἑπτά τ' ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων

Tzetzes in Lycophr. 682 πέμπελον] τὸν ὑπέργηρων . . νῦν δὲ τὸν Τειρεσίαν λέγει, ἐπειδή φασιν αὐτὸν ἑπτὰ γενεὰς ζῆσαι· ἄλλοι δὲ ἐννέα· ἀπὸ γὰρ Κάδμου ἦν καὶ κατωτέρω Ἐτεοκλέους καὶ Πολυνείκους, ὥς φησι καὶ ὁ τῆς Μελαμπο-

---

160, 4 ἐπενθέμεν Spohn, ἐπελθέμεν libri οὔ κε δύναιο Voss, οὐκ (ἐδύναιο Paris.) ἐδύναο libri post 5 aliquid intercidisse suspicatur Immisch (cf. Apollod. l. c.) 6 Κάλχαντα τέλος Nauck, Κάλχανθ' ὕπνος Strabonis libri, Κάλχαντα νέφος Meineke

161, 1 εἴθε μοι ἧσσον' ἔχειν Boissonade, εἴθ' ἧσσω μοι ἔχειν Hermann, εἴθε μοι εἴθ' ἧσσω μ' (γ' Voss) Tzetzes utroque loco; εἴθ' ἧσσω μὲν ἐμοί γ' Bothe (idem γ' omisso Gerhard) 2 ὤφελλες cf. Op. 174; ὤφελες Vit. 2. 3; ὤφειλες Tryllitzsch ⟨φρεσὶ⟩ vir doctus in Gerhardi Lect. Apoll. 161 4 ὃς — γέ μ' O. Rossbach, ὅς γε μακρόν μ' vel ὅς με μακρόν γε libri Tzetzae in Lycophr., . . μ⟩ακρόν γε eiusdem schol. Exeg., ὅς γέ με μακρὸν Boissonade 5 τ' Kinkel, μ' Tzetzae libri (utroque l.), δ' Goettling ἐπὶ Hermann, ἔτι codd. Vit. 2. 3 Tzetzae in Lycophr. et schol. Exeg.

δίας ποιητής· παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα 'Ζεὺς — ἀνθρώπων'

cf. Tzetzes Schol. Exeg. Iliad. 149, 1 H.

162 (190)] *Οἴην μὲν μοῖραν δέκα μοιρέων τέρπεται ἀνήρ,*
τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα

altera Tiresiae responsi recensio: (*γυνὴ*)

ἐννέα μὲν μοίρας, δεκάτην δέ τε τέρπεται ἀνήρ

Schol. Ambros. Hom. *κ* 494 *φασὶν ὡς δράκοντας δύο ἐν Κιθαιρῶνι μιγνυμένους ἰδὼν (Τειρεσίας) ἀνεῖλε τὴν θήλειαν καὶ οὕτως μεταβέβληται εἰς γυναῖκα, καὶ πάλιν τὸν ἄρρενα καὶ ἀπέλαβε τὴν ἰδίαν φύσιν. τοῦτον Ζεὺς καὶ Ἥρα κριτὴν εἵλοντο, τίς μᾶλλον ἥδεται τῇ συνουσίᾳ, τὸ ἄρρεν ἢ τὸ θῆλυ· ὁ δὲ εἶπεν· 'οἴην — νόημα'. διόπερ ἡ μὲν Ἥρα ὀργισθεῖσα ἐπήρωσεν, ὁ δὲ Ζεὺς τὴν μαντείαν δωρεῖται*

cf. Tzetzes in Lycophr. 683

Schol. Marc. Lycophr. 683 *λέγεται τὸν Δία τῇ Ἥρᾳ ἐρίσαι, φάσκοντα τὰς θηλείας μᾶλλον ἤπερ τοὺς ἄνδρας ἥδεσθαι τῇ [πολλῇ] συνουσίᾳ, καὶ χρήσασθαι τῷ Τειρεσίᾳ κριτῇ διὰ τὰς δύο αὐτοῦ μορφάς· τὸν δὲ εἰρηκέναι δέκα οὐσῶν τῶν πασῶν ἡδονῶν μίαν μὲν ἔχειν τοὺς ἄρρενας, τὰς δὲ λοιπὰς ἐννέα τὰς γυναῖκας, ὡς ὁ τῆς Μελαμποδίας ποιητής·*

---

162 Tiresiae responsi recensio prior extat in schol. Ambros. Hom. Tzetza (supposita in Apollodoro), alteram habent Apollodorus Phlegon Schol. Marc. Lycophr., utramque novisse videtur Eustathius

rec. I 1 *μοίρην* Apollodori codd. l. supposito *μοιρέων* Meineke, *μοιρῶν* testes 2 *τὰς δέκα δ'* schol. Hom. Tzetzes, *τὰς δὲ δέκ'* Apollodori codd. *νοήματα* Apollodori codd. Tzetzae cod. Vit. 3

rec. II *μοῖραν* in schol. Marc. Lycophr. additum delevit C. Schenkl

Schol. Marc. Lycophr.: [*πολλῇ*] Klouček *ὡς ὁ — νόημα*] quae verba volgo scholion claudunt, transposuit C. Schenkl

'ἐννέα μὲν μοίρας· δεκάτην δέ τε τέρπεται ἀνήρ'. ['τὰς δέκα — νόημα']. ὀργισθεῖσα δὲ ἡ Ἥρα ἐτύφλωσεν αὐτόν· ὁ δὲ Ζεὺς ἐχαρίσατο αὐτῷ μαντικὴν καὶ πολυχρόνιον ζωήν

Apollodorus III 6, 7, 4 (p. 127, 13 W.) Ἡσίοδος δέ φησιν ὅτι θεασάμενος (Τειρεσίας) περὶ Κυλλήνην ὄφεις συνουσιάζοντας καὶ τούτους τρώσας ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβητοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι, τοῦτον ἀνέκριναν. ὁ δὲ ἔφη δέκα μοιρῶν περὶ τὰς συνουσίας οὐσῶν τὴν μὲν μίαν ἄνδρας ἥδεσθαι, τὰς δὲ ἐννέα γυναῖκας. ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ τὴν μαντικὴν αὐτῷ ἔδωκεν. [τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν· 'οἴην — νόημα']

cf. Phlegon Mirab. c. IV p. 73 sq. K. Eustathius Hom. 1665, 42

163 (191)] Ἡδὺ . . . ἐστ' ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται

Athenaeus II p. 40 f 'ἡδὺ — κορέσωνται' Ἡσίοδος ἐν τῇ Μελαμποδίᾳ φησίν

164 (192)] Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι, ὅσα θνητοῖσιν ἔνειμαν
ἀθάνατοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές

---

162 ['τὰς — νόημα'] ex altera recensione irrepsit Apollodorus: ἀνέκριναν Heyne, ἀνέκρινον libri δέκα . . . τὴν μὲν μίαν . . . τὰς δὲ ἐννέα Barth, δεκαεννέα . . . τὰς μὲν ἐννέα . . . τὰς δὲ δέκα codd. [τὸ ὑπὸ — νόημα'] uncis inclusit Faber

163 cum sequenti fragmento cohaesisse arbitratus est Buttmann 1 ἡδὺ . . . ἐστ' Kaibel, ἡδὺ ἐστιν codd. CE; ἡδὺ μέν ἐστ' Peppmüller; ἥδιστον δ' Meineke fragm. 163 post 164 collocans 2 μύθοισιν Musurus, μύθοις CE

164, 1 τὰ O. Schneider πυθέσθαι Sylburg, πείθεσθαι cod. (L) ἔνειμαν O. Schneider, ἔδειμαν Clemens, ἔδειξαν Goettling

Clemens Strom. VI 2, 26 *Ἡσίοδός τε ἐπὶ τοῦ Μελάμποδος ποιεῖ 'ἡδὺ — ἐναργές' καὶ τὰ ἑξῆς παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν*

165 (193)] *Τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου,*
πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι

1 sq. Athenaeus XI p. 498 a. b *Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδίας σὺν τῷ π̄ σκύπφον λέγει 'τῷ — ἄνακτι'*
2 cf. Eustathius Hom. 900, 17 et 1775, 18

166 (194)] *Καὶ τότε Μάντης μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν,*
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο. τῷ δ' ἐπ' ὄπισθεν
σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας
ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν

Athenaeus XI p. 498 b *καὶ πάλιν 'καὶ τότε — ἔειπεν'*

167 (195)] Athenaeus XIII p. 609 e *Ἡσίοδος δ' ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν*
cf. Eustathius Hom. 875, 52

168 (196)] Strabo XIV p. 676 *Ἡσίοδος δ' ἐν Σόλοις ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Ἀμφίλοχόν φησιν*

169 (197)] *Μάντις δ' οὔ νύ τις ἐστιν ἐπιχθονίων ἀνθρώπων,*
ὅς τις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο

Clemens Strom. V 14, 129 *ἀλλὰ καὶ Ἡσίοδος δι' ὧν γράφει συνᾴδει τοῖς προειρημένοις 'μάντις — αἰγιόχοιο'*
cf. Eusebius Praep. ev. XIII 13, 57

165, 1 *τόδ' εμαρης* Athenaei cod. A *Μάρις* Wilamowitz
166, 1 *Μάντης*] *Μάντιος* filius Melampodis Hom. o 244 *βοὸς* Hemsterhuis, *βιος* A 2 *τὸ δ'* A, corr. Musurus 3 *σκῆπτρον δ' ἑτέρηφιν* Nauck
169, 1 *οὔ νύ τις* scripsi, *οὐδείς* Clemens

ΧΙΡΩΝΟΣ ΥΠΟΘΗΚΑΙ

170 (182)] *Εὖ νῦν μοι τὰ ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσι*
φράζεσθαι· πρῶτον μέν, ὅτ' ἂν δόμον εἰσαφίκηαι,
ἐρδέμεν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσιν

Schol. Pind. Pyth. VI 19 *τὰς δὲ Χίρωνος Ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή 'εὖ — αἰειγενέτῃσιν'*

171 (183)] *Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη*
ἀνδρῶν γηράντων· ἔλαφος δέ τε τετρακόρωνος·
τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ
ἐννέα μὲν κόρακας, δέκα φοίνικας δέ τοι ἡμεῖς
Νύμφαι ἐυπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο

1—5 Plutarchus Mor. p. 415 c *ὁ δ' Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίγνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ ἐν τῷ τῆς Ναΐδος προσώπῳ καὶ τὸν χρόνον αἰνιττόμενος 'ἐννέα — αἰγιόχοιο'*

1—5 Ausonius Ed. XVIII de aet. anim. Hesiod. 1 sqq.

ter binos deciesque novem super exit in annos
iusta senescentum quos implet vita virorum.
hos novies superat vivendo garrula cornix

170, 1 *τοι* Vat. B *τὰ* Buttmann, *τάδ'* libri 2 *δόμον εἰσαφίκηαι* Marckscheffel, *εἰς σὸν δόμον ἀφίκηαι* cod. Paris. 2403, *εἰς σὸν δόμον εἰσαφίκηαι* cod. Gotting 3 *ἐρδέμεν* scripsi, *ἔρδειν* vel *ἕρδειν* libri

171 ad Chironis praecepta rettulit Bergk; Astronomicis adnumeranda esse censuerunt Barthélemy et C. Schenkl 1 *τοι* Plutarchus, *τε* Philoponus, *μὲν* schol. Veron. Vergili, *γὰρ* schol. Aristoph. schol. Hom. Ven. B et Townl. Etymologica Tzetzes *ζῶσιν* codd. Ven. B et Townl. scholior. Hom. *γενεὰς ζώει* Philoponus schol. Ven. Aristoph. 2 *γηράντων* Et. mag. v. *γηράς*, *γηρώντων* Proclus Etymologica l. altero Tzetzes, *senescentum* Ausonius, *φθινόντων* Philoponus; ··ΣΟΝΤΩΝ schol. Veron. Verg., *ἡβώντων* Plutarchus *τε* om. Philoponi codd. Et. Par. 4 *μὲν* C. G. Müller, *τοὺς* Plutarchus *δέκα — ἡμεῖς* scripsi, *δέκα δ' ἡμεῖς τοὺς φοίνικας* Plutarchus

et quater egreditur cornicis saecula cervus.
alipedem cervum ter vincit corvus et illum
multiplicat novies Phoenix reparabilis ales.
quem nos perpetuo decies praevertimus aevo
Nymphae hamadryades, quarum longissima vita est

cf. Plinius Nat. hist. VII 48, 153

1—3 Ioannes Philoponus de opif. mundi VI 2 p. 231 R. *καὶ γὰρ ἀδάμας καὶ λίθων πολλοὶ τῶν τιμωμένων μάλιστα παρ' ἡμῖν τῶν ἀνθρωπίνων σωμάτων εἰσὶ πολυχρονιώτεροί τε καὶ δυσπαθέστεροι· 'ἐννέα — ὁ κόραξ'*.

1. 2 Schol. Veron. Vergil. Buc. VII 30 (III 2 p. 400 H.) *vivacis cervi*] *et Homerus* (immo *Hesiodus*) *ita: 'ἐννέα — τετρακόρωνος'*

cf. Et. mag. et Gud. (Et. Par. v. *ἀγροτέρας* Anecd. Par. IV 60 Cr.) v. *ἀγροτέρας ἐλάφους* Tzetzes Schol. Exeg. Iliad. p. 149, 26 H.

Proclus in Plat. Remp. II 13, 26 Kr. *θαυμάζομεν διὰ τί τὸ μὲν ζῇ μίαν ἡμέραν . . τὸ δὲ 'ἐννέα γενεὰς ἀνδρῶν γηρώντων'* . .

1 Schol. Aristoph. Av. 609 *κακῶς καὶ τοῦτο παρὰ τὸ 'Ησιόδειον παίζει 'ἐννέα — κορώνη'*

Schol. Ven. B Hom. Δ 60 *λαμβάνεται δὲ* (*ἡ γενεὰ*) *καὶ ἐπὶ χρόνου ζωῆς ἀνθρώπων ὡς τὸ 'ἐννέα — γενεάς'* cf. Schol. Townl. Hom. Δ 101

v. Plutarchus Mor. p. 989 a Achilles Tatius IV 4

2 Et. mag. v. *γηράς . . ἡ γενικὴ γηράντος ὡς ἱστάντος· οἷον 'γηράντων ἀνδρῶν'*

Aristophanes hist. anim. epit. II 492 L. (Supplem. Aristot. I 1, 128, 3) *ζῇ δὲ ἡ ἔλαφος ἔτη πλεῖστα. ἔστι δὲ* ⟨*τὸ*⟩ *μυθευόμενον, ὡς 'ἔλαφος τετρακόρωνος', τῶν εἰκῇ καὶ ὡς ἔτυχε πιστευομένων*

3 Tzetzes in Lycophr. 794 *ἑκατὸν ὀκτὼ γὰρ ζῇ γενεὰς καθ' Ἡσίοδον ὁ κόραξ*

172 (184)] ἠπήσασθαι

Phrynichus p. 91 L. (cf. Anecd. Gr. ed. Bachm. II 385) *ἀκεστὴς λέγουσιν οἱ παλαιοί, οὐκ ἠπητής· ἔστι μὲν ἠπήσασθαι ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι παίζοντι τὰς Ἡσιόδου Ὑποθήκας 'καὶ κόσκινον ἠπήσασθαι'. σὺ δὲ λέγε ἀκέσασθαι τὸ ἱμάτιον*

173 (185)] Quintilianus I 1, 15 *quidam litteris instituendos, qui minores septem annis essent, non putaverunt, quod illa primum aetas et intellectum disciplinarum capere et laborem pati posset. in qua sententia Hesiodum esse plurimi tradunt, qui ante grammaticum Aristophanem fuerunt, nam is primus Ὑποθήκας, in quo libro scriptum hoc invenitur, negavit esse huius poetae*

ΜΕΓΑΛΑ ΕΡΓΑ

174 (198)] *Εἰ κακά τις σπείραι, κακὰ κέρδεά κ' ἀμήσειεν·*

εἴ κε πάθοι, τά τ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο

1. 2 Anonymus comm. in Aristot. Eth. Nicom. V 8 (p. 222, 22 H.) *καὶ νῦν δ' αὐτὸς σαφῶς ἐδήλωσε παραθέ-*

---

174 cf. Ludwich JbfPh. 1874 p. 457 sq. et Peppmüller Phil. Anz. XIV 429 1 *κ'* addidit Rose, om. libri *ἀμμήσειεν* Schulze 2 *αἴ κε* Seneca schol. Aeschyl. Iulianus Suidas, *εἰ δὲ* Ludwich, qui versum cum priore coniungit *πάθοι* Aristoteles cum Heliodoro Seneca Suidas, *πάθῃ* schol. Aeschyl. Iulianus Isaac, *πάθος* Anonymi codd. *τά κ'* Aristoteles Anonymus, *τὰ κ'* (= *καί*) Ramsauer, *τὰ δ'* Bernhardy, *ἅ κ'* Isaac *δ' ἰθεῖα* schol. Aeschyl. Anonymus Iuliani codd. aliquot Suidas, *τ' ἰθεῖα* Isaac, *ευθια* (= *εὐθεῖα*) Senecae cod. Sangall. *παραθέμενος* restitui (idem Brandis), *περιθέμενος* codd.

hoc cum fragmento Ludwich l. c. schol. Plat. Phaedr. p. 260 C (cf. Gregorius Cypr. Leid. II 57) comparavit: *καρπὸν ὧν ἔσπειρας θέριζε ἐπὶ τῶν τοιαῦτα πασχόντων οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου· 'εἰ δὲ κακὰ σπείραις* (*σπείρῃς* Peppmüller), *κακὰ κέρδεά κ'* (Ludwich pro *κακά κεν, κήδεά*

μενος τὸ τοῦ Ῥαδαμάνθυος. τὸ μέντοι ἔπος ἐστὶ παρ' Ἡσιόδῳ ἐν τοῖς μεγάλοις Ἔργοις οὕτως ἔχον· 'εἰ κακὰ — γένοιτο'

2 Aristoteles Eth. Nicom. V 8 . . *καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ Ῥαδαμάνθυος δίκαιον· 'εἴ κε — γένοιτο'*

cf. Michael Ephes. in Eth. Nicom. p. 31, 42 H. Heliodorus Aristot. Eth. Nicom. paraphr. p. 94, 31 H. Seneca Apocol. divi Claud. 14 Schol. Medic. Aeschyl. Suppl. 444 Iulianus Conviv. p. 314 a Suidas v. *αἴ κε πάθοι* Isaac Porphyrog. (post 'Polemonem') p. 70, 19 Hinck

175 (207)] 'Proclus' in Hes. Op. 126 *τὸ δ' ἀργύρεον ἔνιοι τῇ γῇ ἀκούουσι λέγοντες ὅτι ἐν τοῖς μεγάλοις Ἔργοις τὸ ἀργύριον τῆς Γῆς γενεαλογεῖ*

ΙΔΑΙΟΙ ΔΑΚΤΥΛΟΙ

176 (186. 187)] Plinius Nat. hist. VII 56, 197 *aes conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delan Phrygem putant, aerariam fabricam alii Chalybas, alii Cyclopas, ferrum Hesiodus in Creta eos qui vocati sunt Dactyli Idaei*

Clemens Strom. I 16, 75 (unde sua Eusebius Praep. ev. X 6, 5) *Κέλμις τε αὖ καὶ Δαμναμενεύς, οἱ τῶν Ἰδαίων Δακτύλων πρῶτοι, σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος, Σκύθης*

κ' Cobet, *'τάχα καὶ κακά κ'* Peppmüller) *ἀμήσαιο* (*ἀμήσειας* Peppmüller)'· *καὶ πάλιν· 'ὃς δὲ κακὰ σπείρει* (*σπείρῃ* Peppmüller), *θερίσει κακὰ κέρδεα* (Peppmüller pro *κήδεα*) *παισίν'*

176 cf. Marckscheffel l. c. p. 384 et Bethe Herm. XXIV 413 adn. 2; fragmentum Hesiodo abiudicavit Sittl *Lydum*] *Lyncum* Knaack *Δαμναμενεύς* Eusebius, *δαμνανεύς* Clementis codex (L), *Δυναμενεύς* Sittl *Δακτύλων* scripsi (post *πρῶτοι* interpungens), *οἱ τῶν Ἰδαίων δακτύλων* vel *δύο τῶν Ἰδ. δ.* ⟨*σοφοί*⟩ Kaibel, *οἱ Ἰδαῖοι δάκτυλοι* Sittl, *οἱ τῶν ἰδαίων δάκτυλοι* codex (L) *Δέλας δὲ* Eusebius, *ὁ δὲ* Clementis cod. (L)

ΑΣΤΡΟΝΟΜΙΑ

177 (9)] *Τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας*

Athenaeus XI p. 491 c. d *καὶ ὁ τὴν εἰς Ἡσίοδον δὲ ἀναφερομένην ποιήσας Ἀστρονομίαν αἰεὶ Πελειάδας αὐτὰς λέγει 'τὰς δὲ — Πελειάδας'*

178 (10)] *Χειμέριαι δύνουσι Πελειάδες*

Athenaeus XI p. 491 d *καὶ πάλιν 'χειμέριαι — Πελειάδες'*

179 (11)] *Τῆμος ἀποκρύπτουσι Πελειάδες*

Athenaeus XI p. 491 d *καὶ πάλιν 'τῆμος — Πελειάδες'*

Plinius Nat. hist. XVIII 25, 213 (cf. Schol. Strozz. Germanici p. 209, 12) *occasum matutinum vergiliarum Hesiodus — nam huius quoque nomine extat Astrologia — tradidit fieri cum aequinoctium autumni conficeretur*

180 (14)] *Νύμφαι Χαρίτεσσιν ὁμοῖαι,*
Φαισύλη ἠδὲ Κορωνὶς ἐυστέφανός τε Κλέεια
Φαιώ θ' ἱμερόεσσα ἰδ' Εὐδώρη τανύπεπλος,
ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων

1—4 Schol. Arati 172 (p. 370, 8 M.) *Ἡσίοδος γάρ φησι περὶ αὐτῶν (τῶν Ὑάδων) 'νύμφαι — ἀνθρώπων'*

2. 3 Schol. Arati 254 (p. 386, 15 M.) *Ζεὺς δὲ ἀστέρας αὐτὰς (τὰς Ὕαντος ἀδελφὰς) πεποίηκε, τὰς καλουμένας Ὑάδας. ὧν τὰ ὀνόματα Ἡσίοδος ἐν τῇ ἀστρικῇ αὐτοῦ βίβλῳ διδάσκει λέγων· 'Φαισύλη — τανύπεπλος'*

cf. Tzetzes in Hes. Op. 384

2—4 Tzetzes Chil. XII 168 sqq. *ἐν μέσῳ τοῦ βιβλίου (ἀστρικοῦ Ἡσιόδου) δὲ τὰ ἔπη κεῖνται ταῦτα· 'Φαισύλη — ἀνθρώπων'*

180, 3 *ἰδ'* **scholii Arati 172 cod. M,** *καὶ* **testes cett. 4** *Νύμφαι, ἃς Ὑάδας καλέουσιν φῦλ' ἀνθρώπων* **Tzetzes Chil.**

181 (15)] Pseuderatosthenes Catast. fr. I p. 50 R. (p. 1, 4 Ol.) = Comm. in Arat. reliq. p. 181 b 1 M. *Ἄρκτος ἡ μεγάλη] ταύτην Ἡσίοδός φησι Λυκάονος θυγατέρα ἐν Ἀρκαδίᾳ οἰκεῖν, ἑλέσθαι δὲ μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν τοῖς ὄρεσι ποιεῖσθαι· φθαρεῖσαν δὲ ὑπὸ Διὸς ἐμμεῖναι λανθάνουσαν τὴν θεόν· φωραθῆναι δὲ ὕστερον ἐπίτοκον ἤδη οὖσαν ὀφθεῖσαν ὑπ' αὐτῆς λουομένην· ἐφ' ᾧ ὀργισθεῖσαν τὴν θεὸν ἀποθηριῶσαι αὐτήν· καὶ οὕτως τεκεῖν ἄρκτον γενομένην τὸν κληθέντα Ἀρκάδα. οὖσαν δ' ἐν τῷ ὄρει θηρευθῆναι ὑπὸ αἰπόλων τινῶν καὶ παραδοθῆναι μετὰ τοῦ βρέφους τῷ Λυκάονι· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ τοῦ Διὸς ἄβατον [ἱερὸν] ἀγνοήσασαν τὸν νόμον. ὑπὸ δὲ τοῦ ἰδίου υἱοῦ διωκομένην καὶ τῶν Ἀρκάδων, καὶ ἀναιρεῖσθαι μέλλουσαν διὰ τὸν εἰρημένον νόμον ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτὴν ἐξείλετο καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν. Ἄρκτον δὲ αὐτὴν ὠνόμασε διὰ τὸ συμβεβηκὸς αὐτῇ σύμπτωμα*

cf. Schol. Arat. 27 (p. 344, 10 M.)

Comm. Arati Supplem. p. 574 M. 8 *⟨π⟩ερὶ τοῦ Βοώτου τοῦ καὶ Ἀρκτοφύλακος. ⟨π⟩ερὶ τούτου λέγεται, ὅτι Ἀρκάς ἐστιν ὁ Καλλιστοῦς καὶ Διὸς γεγονώς· ᾤκησε δὲ περὶ τὸ Λύκαιον. φθείραντος αὐτὴν Διὸς οὐ προσποιησάμενος ὁ Λυκάων τὸν Δία ἐξένιζεν, ὥς φησιν Ἡσίοδος, καὶ τὸ βρέφος κατακόψας παρέθηκεν ἐπὶ τὴν τράπεζαν . . . .*

cf. Arat. comm. p. 181 a 1 M.

Apollodorus III 8, 2, 2 (p. 135, 14 W.) *Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι. Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης δὲ Κητέως*

---

181 cf. Robert l. c. 50, 238 sq. *φθαρεῖσαν δὲ* Robert, *τε* codd. *ἐπίτοκον* Koppiers, *ἐπὶ τόκον* libri [*ἱερὸν*] seclusit Koppiers

cf. 'Hyginus' Astron. II 1 Schol. Basil. Germanici Arat. p. 58, 5 Br. Schol. Strozz. Germanici Arat. p. 112, 4 B. Schol. Sangerm. Germanici Arat. p. 112, 8 B.

182 (17)] Pseuderatosthenes Catast. fr. XXXII p. 162 R. (p. 37, 21 Ol.) *Ὠρίων] τοῦτον Ἡσίοδός φησιν Εὐρυάλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι, δοθῆναι δὲ αὐτῷ δωρεὰν ὥστε ἐπὶ τῶν κυμάτων πορεύεσθαι καθάπερ ἐπὶ τῆς γῆς. ἐλθόντα δὲ αὐτὸν εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα, γνόντα δὲ τὸν Οἰνοπίωνα καὶ χαλεπῶς ἐνεγκόντα τὴν ὕβριν ἐκτυφλῶσαι αὐτὸν καὶ ἐκ τῆς χώρας ἐκβαλεῖν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμῖξαι· ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ Κηδαλίωνα τὸν αὐτοῦ [οἰκεῖον] οἰκέτην, ὅπως ὁδηγῇ· ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε σημαίνοντα τὰς ὁδούς. ἐλθὼν δ' ἐπὶ τὰς ἀνατολὰς καὶ Ἡλίῳ συμμίξας δοκεῖ ὑγιασθῆναι καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἐλθεῖν πάλιν τιμωρίαν αὐτῷ ἐπιθήσων. ὁ δὲ ὑπὸ τῶν πολιτῶν ὑπὸ γῆν ἐκέκρυπτο. ἀπελπίσας δὲ τὴν ἐκείνου ζήτησιν ἀπῆλθεν εἰς Κρήτην καὶ περὶ τὰς θήρας διῆγε κυνηγετῶν τῆς Ἀρτέμιδος παρούσης καὶ τῆς Λητοῦς, καὶ δοκεῖ ἀπειλήσασθαι ὡς πᾶν θηρίον ἀνελεῖν τῶν ἐπὶ τῆς γῆς γινομένων. θυμωθεῖσα δὲ αὐτῷ Γῆ ἀνῆκε σκορπίον εὐμεγέθη, ἐφ' οὗ τῷ κέντρῳ πληγεὶς ἀπώλετο. ὅθεν διὰ τὴν αὐτοῦ ἀνδρίαν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκεν ὁ Ζεὺς ὑπὸ Ἀρτέμιδος καὶ Λητοῦς ἀξιωθείς, ὁμοίως καὶ τὸ θηρίον τοῦ εἶναι μνημόσυνον καὶ τῆς πράξεως*

cf. Schol. Nicandr. Ther. 15; de parte priore cf. Schol. Arati 322 p. 405, 15 M., Arati comm. Anonymus II p. 247 A 1 M.

'Hyginus' Astron. II 34 *Orion. hunc Hesiodus Neptuni*

---

182 cf. Robert l. c. 162 sq. 238 sq. *Κηδαλίωνα* Nicandri schol., *ἣν δαλίωνα* cod. L (Ol.), *ἠνδαλίωνα* O, *Ἰνδαλίωνα* Sittl [*οἰκεῖον*] delevit Heyne *ὁδηγῇ*] quae in libris secuntur *καὶ ἡγῆται αὐτοῦ*, removit Robert *καὶ τῆς πράξεως*] *καὶ* delebat Heyne

filium dicit ex Euryale Minois filia natum. concessum autem ei, ut supra fluctus curreret ut in terra

cf. Schol. Basil. Germanici Arat. p. 92, 16 Br. Schol. Strozz. Germanici Arat. p. 163, 4 Br. Schol. Sangerm. Germanici Arat. p. 163, 14 Br.

183 (18)] Diodorus IV 85 (de freto Siculo exponens) *ἔνιοι δὲ λέγουσι σεισμῶν μεγάλων γενομένων διαρραγῆναι τὸν αὐχένα τῆς ἠπείρου καὶ γενέσθαι τὸν πορθμόν, διειργούσης τῆς θαλάσσης τὴν ἤπειρον ἀπὸ τῆς νήσου. Ἡσίοδος δὲ ὁ ποιητής φησι τοὐναντίον, ἀναπεπταμένου τοῦ πελάγους Ὠρίωνα προσχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι, τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταναστῆσαι κἀκεῖ κατοικῆσαι· διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἄστροις καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης*

ΑΙΓΙΜΙΟΣ

184 (1)] Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 587 *ἄγγελόν φησιν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ* ⟨*τὸ*⟩ *δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. λέγει δὲ ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων*

185 (2)] Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 816 *ὁ τὸν Αἰγίμιον ποιήσας ἐν δευτέρῳ φησὶν ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ἔβαλλεν τοὺς ἐκ Πηλέως γεννωμένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν, ἕτεροι δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός*

---

183 ad Astronomiam referebant Marckscheffel et Robert
184 ⟨*τὸ*⟩ Keil, om. cod. Laur. *λέγει δὲ*] versiculum C. Schenkl restituebat: '*κῶας ἔχων ἔστειχεν ἐς Αἰήταο μέλαθρα*'
185 *ἕτεροι* Koechly, *ἑτέρους* cod. Laur.

φησι· καὶ δὴ πολλῶν διαφθαρέντων ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα

186 (3)] *Νήσῳ ἐν Ἀβαντίδι δίῃ·*
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
Εὔβοιαν δὲ βοὸς τότ' ἐπώνυμον ὠνόμασεν Ζεύς

Stephanus Byz. v. *Ἀβαντίς· ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου δευτέρῳ περὶ Ἰοῦς 'νήσῳ — Ζεύς'*

187 (4)] *Ἐκ τοῦ δ' ὅρκον ἔθηκεν ἀποίνιμον ἀνθρώποισι*
νοσφιδίων ἔργων πέρι Κύπριδος

Schol. Plat. Symp. p. 183 B *ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος λέγων 'ἐκ — Κύπριδος [ἀφροδισίων]'* cf. Hesychius v. *ἀφροδίσιος ὅρκος·*

Apollodorus II 1, 3, 1 (p. 51, 17 W.) *Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν (τὴν Ἰώ) φασιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε. φωραθεὶς δὲ ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, ἀπωμόσατο δὲ ταύτῃ μὴ συνελθεῖν. διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος*

cf. Herodianus *περὶ μον. λέξ.* 17 (II 923, 7 L.)

188 (5)] *Καί οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε,*
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα,

186, 3 restituit Hermann; *τὴν τότε ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασέν νιν Ζεύς* libri; *δὴ τότε γ' Εὔβοιάν μιν ἐπώνυμον ὠνόμασε Ζεύς* Meineke, *δὴ τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς* Peppmüller

187 Catalogo adscripserunt Kirchhoff et Maaß 1 *ἀποίνιμον* Schneidewin, *ἀμείνονα* codd., *ἀπήμονα* Hermann, *ἀναίτιον* olim conieci 2 *πέρι* anonymus, *περὶ* codd. [*ἀφροδισίων*] delevit Bekker, *Κύπριδος ὅσσ' Ἀφροδίτης* anonymus

ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί

1—4 Schol. Eurip. Phoen. 1116 *ὁ δὲ τὸν Αἰγίμιον ποιήσας φησὶ 'καί — αἰεί'*

cf. Tzetzes Schol. in Exeg. Iliad. p. 153, 21 H. Apollodorus II 1, 3, 3 (p. 52, 2 W.)

189 (6)] Schol. Ven. B Hom. Ω 24 *Ἀργεϊφόντην*] . . . *κατὰ τοὺς Ἡσιόδου μύθους τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν* (*Ἑρμῆς*)

190 (7)] *Ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν*

Athenaeus XI p. 503 c. d *Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαί φησι ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι . . . . καὶ ὁ τὸν Αἰγίμιον ποιήσας, εἴθ' Ἡσίοδός ἐστιν ἢ Κέρκωψ ὁ Μιλήσιος, 'ἔνθα — λαῶν'*

191 (8)] *Πάντες δὲ τριχάικες καλέονται,*
τρισσὴν οὕνεκα γαῖαν ἑκὰς πάτρης ἐδάσαντο

Et. gen. v. *τριχάικες· . . . . Ἡσίοδος δὲ διὰ τὸ τριχῇ αὐτοὺς οἰκῆσαι 'πάντες — ἐδάσαντο'. τρία γὰρ Ἑλληνικὰ ἔθνη τῆς Κρήτης ἐποικῆσαι, Πελασγούς, Ἀχαιούς, Δωριεῖς. οὓς τριχάικας κεκλήκασι. παραιτητέον γὰρ τοὺς λέγοντας αἰνίττεσθαι Ἡρακλειδῶν δύναμιν τριχῇ διῃρημένην· νεώτερα γὰρ ταῦτα*

188, 4 *πίπτεν* om. codd. MT, desideratur in cod. Tzetzae *φυλακὴ* TAB Tzetzes *ἔσχεν* TB *ἔμπεδος* TAB Tzetzes *αἰέν* Tzetzes

191, 2 *τρισσὴν οὕνεκα* Goettling; *οὕνεκα τρισσὴν* Etymologica *πάτρης* Et. mag., *πατρίδος* Et. gen. *ἐδάσσαντο* Et. gen. *τῇ Κρήτῃ* Et. mag. *ἐποίκησαν Πελασγοί, Ἀχαιοί, Δωριεῖς* Et. mag.

ΕΞ ΑΔΗΛΩΝ ΕΠΩΝ

192 (211)] *Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,*
ὃν δή, ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί,
πάντες μὲν θρηνεῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε,
ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν

Schol Townl. Hom. *Σ* 570 *καὶ Ἡσίοδος 'Οὐρανίη — καλέουσιν'*, unde sua Eustathius Hom. 1163, 62

193 (212)] *Παντοίης σοφίης δεδαηκότα*

Clemens Strom. I 4, 25 *Ἡσίοδος γὰρ τὸν κιθαριστὴν Λίνον παντοίας σοφίας δεδαηκότα εἰπὼν καὶ ναύτην οὐκ ὀκνεῖ λέγειν σοφόν . .*

194 (213)] *Εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσαι*
ἢ αὐτὸς Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν

Schol. Hom. BHQ *δ* 231 *διαφέρει ⟨γὰρ⟩ ὁ Παιήων Ἀπόλλωνος, ὡς καὶ Ἡσίοδος μαρτυρεῖ 'εἰ μὴ — οἶδεν'*
cf. Schol. Hom. MTV *δ* 232 Eustathius Hom. 1494, 12

195 (214)] *Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν*
ἀθανάτων τέ οἱ οὔ τις ἐρήρισται κράτος ἄλλος

192, 1 *δ' ἄρ'* Eustathius, *δ'* schol. Townl. 2 *ὅσοι* Eustathius, *σοι* schol. Townl. 3 *θρηνεῦσιν* scripsi, *θρηνοῦσιν* schol. Townl. Eustathius *ἠδὲ χοροῖσιν* Eustathius 4 *δὲ* Eustathius, *τε* schol. Townl.

193 *Λίνον κιθαριστὴν* in clausula versus antecedentis collocavit Goettling *παντοίης σοφίης* Hermann

194, 1 *σαώσαι* ope scholii M (Marc.) T (Hamb.) ad Hom. *δ* 232 correxit Dindorf, *σαώσει* schol. B (Ambr. B) H (Harl.) Q (Mediol.) ad *δ* 231, *σώσει* Eustathius; *σαώσῃ* Hemsterhuis 2 *αὐτὸς* om. Eustathius, *καὶ* Hermann *πάντων* Eustathius, *πάντα τε* Schol. BQ ad 231, *πάντα* schol. H ad 231 et T ad 232 ⟨*γὰρ*⟩ Ludwich

195, 1 sq. *ἐσσι | ἀθανάτων· τέο δ'* Sittl 2 *τε ὅδ'* cod. P Clementis Protrept. (*τέο δ'* Stählin), *σέο δ'* cod. L Clementis

1 sq. Clemens Protr. c. 7, 73 *ταύτῃ τοι καὶ ὁ Ἀσκραῖος αἰνίττεται Ἡσίοδος τὸν θεόν· ʻαὐτὸς — ἄλλοςʼ*

Clemens Strom. V 14, 112 (cf. Eusebius Praep. ev. XIII 13) *ἀλλὰ καὶ ὁ Ἡσίοδος ʻαὐτὸς γὰρ πάντωνʼ φησὶ ʻβασιλεὺς — ἄλλοςʼ*

196 (215)] *Δῶρα θεῶν μακάρων πλῆσθαι χθονί*

Epim. Hom. in Anecd. Ox. I 148, 23 Cr. *καὶ Ὅμηρος ʻἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος εἶναιʼ. τούτου γὰρ ἀπαρέμφατον Δωριστὶ πλῆσθαι, ἐνεστῶτος ὡς αἱρῆσθαι· Ἡσίοδος· ʻδῶρα — χθονίʼ*

197 (217)] *Μουσάων, αἵ τ' ἄνδρα πολυφραδέοντα τιθεῖσι θέσπιον αὐδήεντα*

Clemens Strom. I 6, 36 *καὶ Ἡσίοδος· ʻΜουσάων — αὐδήενταʼ*

198 (44)] *Οὔρειαι Νύμφαι θεαὶ ἐξεγένοντο*
καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν
Κουρῆτές τε θεοὶ φιλοπαίγμονες ὀρχηστῆρες

Strabo X p. 471 *Ἡσίοδος μὲν γὰρ Ἑκατέρου καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν, ἐξ ὧν ʻοὔρειαι — ὀρχηστῆρεςʼ*

199 (220)] ʻHyginusʼ fab. 152 b: *Phaethon Solis et Clymenes filius*

Strom.; *τέ οἱ* Buttmann, an *δέ οἱ*? *τῷ δ'* Goettling *ἐρήρειστaι* cod. P Clementis Protr., *ἐρίρισται* ex *ἐρήρισται* m[1] factum cod. L Clementis Strom.

196 *αἱρῆσθαι* Ahrens, *ἡρῆσθαι* cod.

197, 1 *τιθεῖσι* L. Dindorf, *τιθεῖσαι* cod. Clementis (L)

198 ad Idaeos Dactylos pertinere arbitratus est Sittl 1 *τάων δ'*⟩ in principio versus addidit Marckscheffel *ὄρειαι* libri Strabonis *ἐγένοντο* libri Strabonis 2 *κακομηχανοεργῶν* Meineke 3 *φιλοπαίσμονες* Cobet *Ἑκατέρου*] *ἑκατέρω, ἑκαταίου, ἑκατέου* libri Strabonis

199 Astronomiae attribuit Marckscheffel, Catalogo Robert; de ʻHyginiʼ narratione cf. Robert Herm. XVIII 434 sqq. Eratosth.

cum clam patris currum conscendisset et altius a terra esset elatus, prae timore decidit in flumen Eridanum. hunc Iuppiter cum fulmine percussisset, omnia ardere coeperunt. Iovis ut omne genus mortalium cum causa interficeret, simulavit se id velle extinguere; amnes undique irrigavit, omneque genus mortalium interiit praeter Pyrrham et Deucalionem. at sorores Phaethontis quod equos iniussu patris iunxerant in arbores populos commutatae sunt

fab. 154 (*Phaethon Hesiodi*) *extr. harum lacrimae, ut Hesiodus indicat, in electrum sunt duratae. Heliades tamen nominantur; sunt autem Merope Helie Aegle Lampetie Phoebe Aetherie Dioxippe. Cygnus autem rex Liguriae, qui fuit Phaethonti propinquus, dum deflet propinquum, in cygnum conversus est. is quoque moriens flebile canit.*

Schol. Strozz. Germanici Arat. p. 174, 6 Br. (de Eridano) *Hesiodus autem dicit inter astra conlocatum propter Phaethonta, Solis et Clymenes filium, qui clam dicitur currum patris ascendisse cumque a terra altius levaretur, prae timore in Eridanum fluvium, qui et Padus, cecidisse eumque percussum fulmine a Iove, omnia ardere coepisse causaque extinguendi universos amnes inmissos esse omneque mortalium genus interisse praeter Pyrram et Deucalionem. sorores quoque Phaethontis flentes in arbores populos versas fuisse. lacrimae quoque earum in electrum duratae dicuntur Heliadesque appellatae. ipsas autem nomina habuisse Merope Helie Aegle Lampetie Phoebe Aetherie Dioxippe. Cygnus quoque, rex Liguriae, Phaethonti propinquus dum defleret, et ipse in cygnum conversus. is quoque moriens flebile canit.*

Cataster. rel. 214; de Phaethonte Hesiodeo cf. Knaack ap. Roscher Lex. d. Myth. III 2180 de Eustathii adnotatione (Hom. 1689, 4) *῾Ησίοδος δέ φησι προμιγῆναι αὐτὴν (τὴν Κλυμένην) ῾Ηλίῳ καὶ τεκεῖν Φαέθοντα* cf. schol. Hom. λ 326 Marckscheffel l. c. 357 Robert Herm. XVIII 437

Narrat. fab. Ovid. Met. II fab. 2 p. 796 St. *sorores Phaethontis Phaethusa Lampetie Phoebe casum fratris dum deflent, deorum misericordia in arbores populos mutatae sunt. lacrimae earum, ut Hesiodus et Euripides indicant, in electrum sunt conversae*

cf. Schol. Strozz. Germanici Arat. p. 185, 4 Br.

200 (266)] Phlegon Mirab. c. V p. 74 K. *οἱ αὐτοὶ* (*Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινές*, cf. c. IV p. 73 K.) *ἱστοροῦσιν κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα ποιῆσαί τε ἄτρωτον. τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα*

201 (137)] *Θεσσάμενος γενεὴν Κλεοδαίου κυδαλίμοιο*

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 824 *θέσσασθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος· 'θεσσάμενος — κυδαλίμοιο'*

202] Bacchylides V 191 sq. *Βοιωτὸς ἀνὴρ τάδε φών⟨ησεν . . . | Ἡσίοδος πρόπολος | Μουσᾶν, ὃν ⟨ἂν⟩ ἀθάνατοι τι⟨μῶσι, κείνῳ⟩ | καὶ βροτῶν φήμαν ἕπ⟨εσθαι*

203 (125)] Aelianus Var. Hist. XII 20 *λέγει Ἡσίοδος τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμοιρεῖν ὕπνου καὶ διὰ τέλους*

---

201 ad Aegimium referebat Buttmann; in Catalogi fragmentis collocavit Marckscheffel *Κλεαδαίου* cod. Laur., corr. Lehmann *θέσσασθαι* Schaefer, *θέσθαι* cod. Laur.

202 ad Theog. 81 sq. pertinere arbitratus est Sitzler *φών⟨ησεν* Blass ⟨*ἂν*⟩ addidit Blass *τι⟨μῶσι* Housman ⟨*κείνῳ*⟩ Wilamowitz, ⟨*τούτῳ*⟩ Housman *ἕπ⟨εσθαι* Housman, ЄΠ···· papyrus.

203 haec de Procne et Philomela narrari arbitratur Marckscheffel *ἀμοιρεῖν* Dukerus, *ἀμελεῖν* codd.

ἀγρυπνεῖν. τὴν δὲ χελιδόνα οὐκ ἐς τὸ παντελὲς ἀγρυπνεῖν, ἀποβεβληκέναι δὲ καὶ ταύτην τοῦ ὕπνου τὸ ἥμισυ

204 (221)] *Πρωὶ μάλ' ἠίθεον*

Ammonius v. *ὄρθρος* p. 101 V. *πρωὶ δέ, ἡ πρὸ τοῦ καθήκοντος καιροῦ* (*ὥρα*) . . . *καὶ Ἡσίοδος τελευτῆσαί τινα 'πρωὶ — ἠίθεον', τοῦτ' ἔστι πρόωρον*

205 (225)] *Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,*
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρεΐδῃσιν

Nicolaus Damasc. Fr. 33 (Fragm. hist. Graec. III 374 M.) *ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμυθαονιδῶν γένος τὸ παλαιὸν ἐν τοῖς Ἕλλησι πρωτεύειν· ὥς περ καὶ Ἡσίοδός φησιν ἐν τούτοις· 'ἀλκὴν — Ἀτρεΐδῃσιν'*

cf. Suidas v. *ἀλκή* (I 1 p. 227 B.)

206 (227)] *Τῇδε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν*

Schol. Ven. A Hom. *Λ* 155 (*ἡ διπλῆ*) *πρὸς τὴν ἄξυλον, ὅτι πολλὰς ἐκδοχὰς ἔσχηκεν. οἱ μὲν γὰρ τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον· βέλτιον δὲ ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος· 'τῇδε — νηῶν'*

207 (229)] *Οὐκέτι δὴ βαίνουσι λαροῖς ποσίν*

Et. gen. v. *λαρόν . . . λέγεται καὶ ἐπὶ τοῦ ἁπαλοῦ. Ἡσίοδος 'οὐκέτι — ποσίν'* cf. Lex. Vindob. p. 119, 17 N.

---

203 *ἀποβεβληκέναι δὲ* Hercher, *δὲ ἀπολωλέναι* codd. *καὶ ταύτην* transposui, *ἀγρυπνεῖν καὶ ταύτην* codd.

204 de Eurygye (Androgeo, cf. fragm. 104) intellexit Ruhnken

205, 1 *Αἰακίδαισι* Nicolaus 2 *δ' ἔπορ'* praeeunte Reizio Hermann, *δὲ παρ'* Nicolaus, *δέ περ* Suidas

206 *τῇδε* '*dort*' Hermann, *τῆλε* cod. Venet. A *χείλεα νηῶν* Hermann, *κῆλ' ἁλιήων* Goettling, *νήια κᾶλα* Sittl

207 *οὐκέτι δὴ*] *οὐκ ἐπειδὴ* Lex. Vindob. *βαῖνον λιπαροῖς* Ruhnken

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 456 *Ἡσίοδος δέ φησι 'λαροῖς ποσίν', τοῖς κατ' ὄψιν ἡδέσιν*

208 (230)] *Ὤπτησαν μὲν πρῶτα, περιφραδέως δ' ἐρύσαντο*
Schol. Ven. A Hom. *Ω* 624 *ὤπτησάν τε περιφραδέως] σημειοῦνταί τινες, ὅτι Ἡσίοδος ἐποίησεν 'ὤπτησαν — ἐρύσαντο'*

209 (233)] Herodotus IV 32 *ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα*

210 (234)] *Τοῦ γὰρ ἀέξετο θυμὸς ἐνὶ στήθεσσι φίλοισιν*
Chrysippus Stoic. Fr. II 254, 11 A. ap. Galenum de plac. Hippocr. et Plat. I p. 265, 7 M. (V p. 300 K.) *τῶν δὲ ἐξ Ἡσιόδου παραγραφέντων ὑπὸ Χρυσίππου παμπόλλων καὶ αὐτῶν ὄντων ἀρκέσει μοι δυοῖν ἢ τριῶν ἐπιμνησθῆναι παραδείγματος ἕνεκα· 'τοῦ — φίλοισιν'*

211 (235)] *Οἷον ἐνὶ στήθεσσι χόλον θυμαλγέ' ἔχουσα*
Chrysippus Stoic. Fr. II 254, 15 A. ap. Galenum de plac. Hippocr. et Plat. I p. 265, 12 M. (V p. 300 K.) *καὶ 'οἷον — ἔχουσα'*

212 (236)] *Δωδώνην φηγόν τε, Πελασγῶν ἕδρανον, ᾖεν*
Strabo VII p. 327 *οἱ δὲ Πελασγοὶ τῶν περὶ τὴν Ἑλλάδα δυναστευσάντων ἀρχαιότατοι λέγονται· καὶ ὁ ποιητὴς φησιν οὕτω 'Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικέ', ὁ δ' Ἡσίοδος 'Δωδώνην — ᾖεν'*

---

209 Catalogo attribuit Marckscheffel

210 *τοῦ γὰρ* Nauck, *τοῦδε γὰρ* L (schedae Laur.), versus initium mutilum in cod. M (Marciano), *τοῦ δὴ* olim scripsi

211 *ἔχουσι* L (schedae Laur.)

212 *ᾖεν* Boissonade, *ἦεν* codd., *ἤκεν* Casaubonus, *ἶκεν* Cobet

213 (237)] Schol. Ven. A Hom. *I* 246 *σημειοῦνταί τινες, ὅτι τὴν ὅλην Πελοπόννησον οὐκ οἶδεν ὁ ποιητής, Ἡσίοδος δέ*

214 (238)] v. Fr. 96, 8

215 (239)] *Πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέι καπνῷ*
Schol. A Hephaest. p. 109, 4 Consbr. *'πίσσης — καπνῷ' · οὗτος ὁ στίχος ἐστὶ μὲν Ἡσιόδου, λαμβάνεται δὲ καὶ δακτυλικὸς καὶ ἴαμβος, ὅπως τις θέλει, διὰ τὰς κοινάς* cf. Schol. Tzetz. *περὶ μέτρ.* in Anecd. Ox. III 318 adnot. Cr.

216 (240)] v. Fr. 96, 86

217 (241)] *Αὐτὸς δ' ἐν πλήσμησι διιπετέος ποταμοῖο*
Schol. Laur. Apoll. Rhod. *A* 757 *διαφέρει πλήμνη καὶ πλήσμη. ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ, ἡ δὲ πλήσμη τὴν πλήμμυραν τοῦ ποταμοῦ. διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον· 'αὐτὸς — ποταμοῖο' καὶ οὐχ ὥς τινες 'ἐν πλήμνῃσι', εἰ μὴ ἄρα ἔξωθεν προσλάβοιμεν τὴν 'σύν' πρόθεσιν, 'σὺν πλήμνῃσιν'*

218 (242)] *Ὡς ἀκαλὰ προρέων ὡς ἀβρὴ παρθένος εἶσιν*
Stephanus Byz. v. *Παρθένιος· ποταμὸς ἐν μέσῳ τῆς Ἀμαστριανῶν πόλεως ῥέων. ἐκλήθη δ' ἐκ τοῦ συνεχῶς περὶ αὐτὸν τὴν παρθένον Ἄρτεμιν κυνηγετεῖν ἢ διὰ τὸ ἠρεμαῖον καὶ παρθενῶδες τοῦ ῥεύματος· 'ὡς — εἶσιν'* cf. Et. mag. v. *ἀκαλός·*

---

213 ad Hymn. Hom. Apoll. Pyth. 72 (112, 241, 252, 254) pertinere ratus est Bergk
215 *κέδρου* Tzetzes, *κεδρίου* scholior. Heph. cod. D, *κεδρινοῦ* cod. I, *δενδρίνου* cod. A
217 Catalogi fragmentum esse existimat Marckscheffel *ἐν πλήμνῃσι* quidam teste scholio *δ' ἐν*] *δὲ* Marckscheffel
218 versum Parthenio Meineke, Hesiodo Gaisford et Hecker tribuerunt

219 (245)] *Νήπιος, ὃς τις ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει*

Schol. Theocr. XI 75 *Ἡσίοδος· 'νήπιος — διώκει'*

Orion Anthologn. (Stob. ed. IV p. 252, 3 M.) *Ἡσιόδου· 'νήπιος — διώκει'*

Plutarchus Mor. p. 505 d *ἁρπάσας οὖν τὸ αἰνιχθὲν ἐκεῖνος καὶ νοήσας, οἶμαι, ὅτι 'νήπιος — διώκει', τὴν βεβαιοτέραν εἵλετο σωτηρίαν πρὸ τῆς δικαιοτέρας*

Schol. Pind. Pyth. III 38 *ἔστι δὲ ὅμοιον τῷ· 'νήπιος — διώκει'*

220 (246)] *Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων*

Harpocration v. *ἔργα νέων· τοῦτο Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου φησὶν εἶναι· παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν· 'ἔργα — γερόντων'*

cf. Apostolius VII 90 Macarius IV 11

221 (248)] *Ὥς κε πόλις ῥέζῃσι, νόμος δ' ἀρχαῖος ἄριστος*

Porphyrius de abstin. II 18 *καὶ τὸν Ἡσίοδον οὖν εἰκότως τὸν τῶν ἀρχαίων θυσιῶν νόμον ἐπαινοῦντα εἰπεῖν 'ὥς κε — ἄριστος'*

222 (249)] *Χρὴ δέ σε πατρὶ . . . κτίλον ἔμμεναι*

Schol. Nicandr. Ther. 452 *τὰ κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθασσῶν τίθεται . . . . καὶ Ἡσίοδος· 'χρὴ — ἔμμεναι'*

223 (250)] *Ὁ εἰπόντος μὲν ἐμεῖο*
φαῦλόν κεν δόξειεν ἔμεν, χαλεπὸν δὲ νοῆσαι

---

219 'Chironis praeceptis' adscribi voluit Hopfner *ὅς τις* Gaisford, *ὃς τὰ* testes omnes, *ὃς τά γ'* Boeckh, *ὅς τ' ἂν . . . διώκῃ* Paulson, *ὅς κεν . . . διώκῃ* Peppmüller *τὰ ἀνέτοιμα* schol. Theocr.

220 suspectum Sittlio *ἔργα νέων*] cf. Blass Hyper. ed.[3] fr. 57

222 *δέ σε* om. codd. Vatic. Monac., *δὲ* Paris. Marcian.

223 restituit Goettling

Pseudoplato Epist. XI (p. 359 A) *συμβουλεῦσαι μέντοι ἔχω σοί τε καὶ τοῖς οἰκισταῖς, ὃ εἰπόντος μὲν ἐμοῦ, φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον, χαλεπὸν δὲ νοῆσαι*

224 (270)] Photius Bibl. p. 535 b 38 B. (ex Helladio) *τὸ δὲ κνισᾶν ἀγυιὰς παρὰ Ἡσιόδῳ τοῖς θεοῖς θύειν λέγει*

225 (272)] Pollux III 19 *καλοῖτο δ' ἂν υἱὸς ἀγαπητὸς ὁ μόνος ὢν πατρὶ ἢ μητρί, ὥσπερ καὶ ἀγαπητὴ θυγάτηρ ἡ μονογενὴς ⌊καθ' Ἡσίοδον⌋*

226] Audacis Excerpta, Gramm. Lat. VII 332 K. *Qui primum his observationibus in componendis carminibus usi sunt? Phemonoe dicitur Apollinis vates prima per insaniam ita locuta, cuius Hesiodus meminit*

227 (200)] Plinius Nat. hist. XV 1, 3 *Hesiodus in primis culturam agrorum docendam arbitratus vitam negavit oleae satorem fructum ex ea percepisse quemquam; tam tarda tunc res erat*

228 (201)] Plinius Nat. hist. XXII 22, 67 *asphodelum de clarissimis herbarum, ut quod heroion aliqui appellaverint, Hesiodus et in silvis nasci dixit*

229 (203)] Theophrastus Hist. Plant. IX 19, 2 W. *καὶ ὥς δή φασι τὸ τριπόλιον καθ' Ἡσίοδον καὶ Μουσαῖον εἰς πᾶν πρᾶγμα σπουδαῖον χρήσιμον εἶναι, δι' ὃ καὶ ὀρύττουσιν αὐτὸ νύκτωρ σκηνὴν πηξάμενοι*

---

224 ab Hesiodo abiudicavit Haupt
225 *μουνογενὴς θυγάτηρ ἀγαπητή* (coll. β 365) Peppmüller *καθ' Ἡσίοδον* om. BC
226 *Hesiodus*] *Heliodorus* Sittl
227 Hesiodi esse negavit Sittl
228 suspicionem movit Sittlio *silvis*] *fluviis* cod. Riccard.
229 pro suspecto habet Sittl *τριπόλιον*] *τριπέτηλον* Goettling

Plinius Nat. hist. XXI 20, 145 *polio Musaeus et Hesiodus perungui iubent dignationis gloriaeque avidos; polium tractari, coli, polium contra venena haberi, contra serpentes substerni, uri, portari, in vino decoqui recens vel aridum inlinique*

cf. idem Nat. hist. XXI 7, 44

230 (204)] Plinius Nat. hist. XXV 2, 12 *primus autem omnium, quos memoria novit, Orpheus de herbis curiosius aliqua prodidit, post eum Musaeus et Hesiodus polium herbam in quantum mirati sint diximus, Orpheus et Hesiodus suffitiones commendavere*

231 (205)] Plinius Nat. hist. XXIIII 1, 43 *meracis potionibus per viginti dies ante canis ortum totidemque postea suadet Hesiodus uti*

232 (206)] Servius in Vergil. Georg. III 280 *scit lectum esse apud Hesiodum herbam esse quandam, quae hippomanes vocatur, quasi ἵππου μανία. si enim eam comederint equi, furore quatiuntur*

233 (252)] ἄγαλμα

Suidas v. ἀγάλματα .... καὶ Ἡσίοδος τὸν ὅρμον ʽἄγαλμαʼ καλεῖ

234 (253)] v. Fr. 96, 46

235 (255)] ἄφυζαν

Schol. Ven. A et Townl. Hom. Φ 528 πεφυζότες] ὅθεν ʽἄφυζανʼ τὸν λέοντα Ἡσίοδός φησιν cf. Schol. Ven. B Hom. l. c.

---

231 ad Op. 585 sqq. pertinere arbitratur Sittl
232 *Hesiodum*] *Theocritum* Burmann
235 suspectum Sittlio ἀφύζαν cod. Townl. φησιν] εἶπεν schol. Townl.

236 (256)] *βρῖ*

Strabo VIII p. 364 *παραδείγμασι δὲ χρῶνται τοῦ μὲν ποιητοῦ τῷ κρῖ καὶ δῶ καὶ μάψ . . . Ἡσιόδου δέ, ὅτι τὸ βριθὺ καὶ βριαρὸν 'βρῖ' λέγει*

unde sua Eustathius Hom. 295, 3

237] *ἤδυμος*

Tzetzes Exeg. Iliad. p. 4, 9 H. *καὶ ἕτεροι δὲ πλεῖστοι, ὥς περ καὶ Ποσειδώνιος ὁ Ἀπολλωνιάτης ὁ τῷ Ἡσιόδῳ μέμψιν ἐπάγων, ὡς παραφθείραντί τινας τῶν Ὁμήρου λέξεων τὸν Ὀιλέα ''Ιλέα' εἰπόντι καὶ τὸν νήδυμον 'ἤδυμον', . . . τῆς Ὁμηρικῆς ἐπεμελήθησαν ἐξηγήσεως*

238 (257)] *ὅτων*

Schol. Philostr. Her. p. 464 B. *εὑρίσκεται δὲ καὶ παρ' Ἡσιόδῳ μόνῳ καὶ γενικὴ τῶν πτώσεων πληθυντικῶν (τοῦ 'ὅτις') ἐν χρήσει, 'ὅτων' ἀντὶ τοῦ ὧντινων*

239 (258)] *πρόκριν*

Anecd. Ox. I p. 46, 31 Cr. *Ἡσίοδος δὲ τὸ 'πρόκριν' παρὰ τὸ κρίσις, πρόκρισις, πρόκρισιν καὶ ἐν συγκοπῇ πρόκριν*

240 (260)] *φυλλοχόος μείς*

Pollux I 231 *καὶ 'φυλλοχόος μήν' ὁ ταῦτα ποιῶν ὡς Ἡσίοδος*

cf. Himerius IX 1 Eustathius Hom. 631, 4 (1555, 6)

241 (59)] Schol. Ven. A Hom. *K* 431 *Φρύγες*] (*ἡ διπλῆ*), *ὅτι ἑτέρους τῶν Τρώων οἶδε τοὺς Φρύγας καὶ ὅτι Ὅμηρος οὐκ οἶδε καλουμένους Λυδούς, ἀλλὰ Μήονας. πρὸς τὰ περὶ ἡλικίας Ἡσιόδου*

---

239 *Πρόκριν* (Cephali uxorem) Schneidewin
240 referebatur ad Op. 421, sed cf. Nauck MGrR. III 275 *μείς* scripsi, *μήν* Pollux

242 (261)] Strabo XIII p. 587 *ἀπεδείχθη δὲ θεὸς οὗτος (Πρίαπος) ὑπὸ τῶν νεωτέρων· οὐδὲ γὰρ Ἡσίοδος οἶδε Πρίαπον*

243 (262)] Schol. Harl. Ambr. Hom. τ 34 *λύχνον] λέγει δὲ τὴν δᾶδα κυρίως. τῷ δὲ παρ' ἡμῖν καλουμένῳ λύχνῳ τοὺς ἥρωας χρωμένους ὁ ποιητὴς οὐκ εἰσάγει οὐδὲ Ἡσίοδος μέμνηται*

244 (263)] Argumentum Soph. Oed. Reg. II *ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον· οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει*

ΑΠΟΣΠΑΣΜΑΤΑ ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

245] * * *

Ποσε⟨ιδαων
. . λ'ὃν γ . .
Παν⟩διονίδαọ
ἐδιδ⟩άξατο Παλλὰς Ἀθή⟨νη
ṭε γὰρ ἶσα θεοῖσι
εἶ⟩ματος ἀργυφέοιο
⟩δ' ἀπὸ εἶδος ἄητο.
ης πειρήσατο βουλα⟨ῖς
Διὸ⟩ς νόον αἰγιόχοιο
διζ⟩ήμενος ἦλθε γυνα⟨ῖκα
νεφεληγερέτα Ζεύ⟨ς

---

243 *τοῦ . . . καλουμένου λύχνου* schol., corr. Ludwich *οὐδὲ* G. Dindorf, *καὶ οὔτε* schol.

245 cf. Fr. 7b; Hesiodeis tribuerunt Grenfell-Hunt cum Blassio 1 ΠΟCЄ . . . . G 3 *Εὐρυνόμη Νίσου θυγάτηρ⟩* ex Hygin. fab. 157 supplet Blass *Παν⟩*ΔЄΙΟΝΙΔΑỌ G 4 *τὴν πᾶσαν τέχνην ἐδιδ⟩άξατο* Blass 9 *Διὸ⟩ς* Grenfell-Hunt 10 *τὴν δ' ἄρ' ἐέδνοισιν διζ⟩ήμενος* Blass ex Hom. φ 161

ἀνένευε κ⟩αρήατι, μή ποτ' ὀπάσ̣⟨σαι
ν̣του Σισυφίδαο
ἠδὲ Ποσειδάωνος ἐν⟩ ἀγκοίνῃσι μιγεῖ⟨σα
ἔτικτεν⟩ ἀμύμονα Βελλ⟨εροφόντην
κ̣τῃι ἐπ' ἀπείρονα π⟨όντον,
πα⟩τὴρ πόρε Πήγασο⟨ν ἵππον
μ̣ιν ἔπ̣τε⟨το?
ε̣ῃ̣ταια̣λ̣ .

* * *

Papyrus Oxyrhynch. 421 (= G) saec. II ed. Grenfell et Hunt, 'the Oxyrhynchus Papyri' III p. 70

246] *Δωτίῳ ἐν πεδίῳ*

Orus ap. Stephanum Byz. v. *Δώτιον· ἐκλήθη δὲ Δώτιον ἀπὸ Δώτου τοῦ Πελασγοῦ παιδός, ὡς Ἡρωδιανός ἐν η'· Δῶτος ὁ Πελασγοῦ, ἀφ' οὗ τὸ Δώτιον πεδίον. ἐκ περιττοῦ τοίνυν Ὧρος ἐν τοῖς Ἐθνικοῖς τῇδε γράφει καὶ τὰ περὶ Θάμυριν ἐν Δωρίῳ παριστοροῦντος τοῦ ποιητοῦ πάλιν Ἡσίοδος 'Δωτίῳ ἐν πεδίῳ' φάσκει αὐτὸν τετυφλῶσθαι*

247] *Καὶ τότε δὴ στηθέων Ἀθάμα φρένας ἐξέλετο Ζεύς*

Galenus de plac. Hippocr. et Plat. I 266, 7 M. *τὰ μὲν γὰρ τοιαῦτα τῶν ἐπῶν ἅπαντα ἐχρῆν ὑπὸ αὐτοῦ (Χρυσίππου) παραλελεῖφθαι, διὰ ὧν δὲ νοῦν καὶ φρένας καὶ διάνοιαν καὶ λογισμὸν εἶπέ τις ποιητὴς ἐν καρδίᾳ περιέχεσθαι, συνάγειν ἔδει, καθάπερ ἔχει καὶ τὰ τοιαῦτα· 'καὶ — Ζεύς'*

245, 12 *ἀνένευε κ⟩αρήατι* ex Hom. *K* 205 Grenfell-Hunt 13 . . . ṄΤΟΥ G, an *Γλα⟩ύκ̣ου?* 14 *ἠδὲ Ποσειδάωνος⟩* dedi *ἐν⟩* Grenfell-Hunt 15 *ἔτικτεν⟩* scripsi 16 *π⟨όντον* Grenfell-Hunt *πα⟩τὴρ* iidem *ἵππον* add. iidem

246 ab Hesiodo abiudicavit Marckscheffel

247 Hesiodi videtur esse *Ἀθάμα] ἀθ' ἅμα* cod. M (Marcianus), *ἆθ' ἅμα* L (schedae Laur.)

248 (224)] *Δαϊζομένοιο πόληος*

'Pseudophilemon' v. *εὐφυής· καὶ τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα, ὡς παρ' Ὁμήρῳ 'κλυτὸς Ἱπποδάμεια' καὶ 'θερμὸς ἀυτμή' καὶ 'ἁλὸς πολιοῖο' καὶ παρ' Ἡσιόδῳ 'δαϊζομένοιο πόληος'*

cf. Phavorinus Lex. p. 781, 20 B.

249 (223)] Schol. Laur. Apoll. Rhod. Arg. Δ 1396 *ᾧ ἔνι Λάδων·*] *Πείσανδρος τὸν δράκοντα ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι, Ἡσίοδος δὲ ἐκ Τυφῶνός φησιν*

250 (46)] Narrat. fabul. Ovid. Met. IV fab. 5 p. 811 St. *Sol praelatam Leucothoen ex Eurynome et Orchamo Achaemeniae principe origine Beli genitam Clymenae ac Rhodo, Circes matri, et Clytiae, quarum pulchritudine ante sollicitum animum egerat, dilexit et cupiens, ut in antedictis cupiditatem sedare, in speciem matris puellae Eurynomes conversus virginem deceptam dolo vitiavit. cuius adulterio Clytie incensa, qua nondum satiatus erat Sol, parenti puellae indicavit. quam ille cum terrae defodisset, vitiator admissi misericordiam exhibens diducto solo, cui subiecta fuerat, pro ea virgam tinctam nectare, quae gratissima diis hominibusque esset, extulit, quae turea adpellatur. hoc Hesiodus indicat.*

251 (47)] Narrat. fabul. Ovid. Met. XI fab. 4 p. 864 St. *Pan cum Tmolum montem Lydiae frequentans fistula se oblectaret, elatus gloria agrestium Nympharum, Apollinem in certamen devocavit. iudice ergo Tmolo, cuius mons erat,*

---

248 num Ascraei poetae sit, dubium *δαϊζομένοιο* Osann, *δαϊζομένου* cod., *δαϊζομένου δὲ?* Marckscheffel
249 aliud legitur Theog. 333 sq.
250 eicit Sittl
251 e fragmentis expellit Sittl

cum victoria Apollini esset adiudicata, Midae regi supradicto adsidenti soli displicuit. quam ob causam Apollo ob eandem stultitiam, quam et supra gesserat in Liberi patris voluntate, iratus aures eius asininae ut essent sempiterno effecit, cuius iudicium nulli rei facerent. qui tamen fertur Midas esse Matris Magnae filius. sic enim cum Hesiodo consentit Ovidius

252 (48)] Narrat. fabul. Ovid. Met. XIII fab. 3 p. 873 St. *Memnon, Tithoni et Aurorae filius, Priamo ferens auxilium ab Achille occiditur. mater ergo precibus pro adsiduo officio inducendae lucis ab Iove inpetrat, ut in cineres eius adusto rogo sorores in volucres convertantur, Memnonides nomine. quae memores belli quotannis ad sepulcrum eius conveniunt et inter se dimicantes sanguine suo manibus eius frequentes parentant. et ipsa mater eius matutinis temporibus lacrimas desiderio filii sui Memnonis transmutat in rorem, cui tamen monumentum in Phrygia constituit patruus eius, ut Hesiodus vult*

253 (209)] Auctor libri de caelo ('Aristoteles') III 1 *εἰσὶ γάρ τινες οἵ φασιν οὐδὲν ἀγένητον εἶναι τῶν πραγμάτων, ἀλλὰ πάντα γίγνεσθαι· γενόμενα δὲ τὰ μὲν ἄφθαρτα διαμένειν, τὰ δὲ πάλιν φθείρεσθαι, μάλιστα μὲν οἱ περὶ Ἡσίοδον, εἶτα καὶ τῶν ἄλλων οἱ πρῶτοι φυσιολογήσαντες*

254 (210)] Zeno (Stoic. Fr. I 63, 25 A.) ap. Laertium Diogenem VIII 1, 25, 48 *ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον καὶ τὴν γῆν στρογγύλην (Πυθαγόραν), ὡς δὲ Θεόφραστος Παρμενίδην, ὡς δὲ Ζήνων Ἡσίοδον*

---

252 delet Sittl *cui* Muncker, legebatur *quod*
253 ad Theog. 116 sq. refert Sittl
254 ad Theog. 127 spectare ratus est Sittl

255 (202)] Plinius Nat. hist. XXII 22, 73 *asphodelum ab Hesiodo quidam halimon appellari existimavere, quod falsum arbitror; est enim suo nomine halimon, non parvi et ipsum erroris inter auctores*

256 (219)] Iosephus Flavius Antiq. Iud. I 108 (cf. Eusebius Praep. evang. IX 13) *Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια*
cf. Ioannes Laurentius Lydus de mens. III 5

257 (243)] Eustathius Hom. 1293, 25 *ἐς πηγὰς δὲ ἱερεύονται μῆλα διὰ τὸ αὐτὰς γονίμους εἶναι τοῦ ὅλου ποταμοῦ, ἔτι δὲ καὶ τιμίας ἀρχικῷ λόγῳ, καθὰ παραδηλοῖ καὶ Ἡσίοδος*

258 (19)] Georgius Monachus (Hamartolus) Chron. I 26, 5 (ex Ioseph. Flav. Antiq. Iud. I 167) *καὶ πρῶτος κατελθὼν* (ὁ *Ἀβραάμ*) *εἰς Αἴγυπτον ἀριθμητικὴν καὶ ἀστρονομίαν Αἰγυπτίους ἐδίδαξε· πρῶτοι γὰρ εὑρεταὶ τούτων οἱ Χαλδαῖοι γεγένηνται· παρὰ δὲ τῶν Ἑβραίων ἔλαβον Φοίνικες· ἀφ' ὧν ὁ μὲν Κάδμος ταῦτα μετήγαγεν εἰς τοὺς Ἕλληνας. ὁ δὲ Ἡσίοδος μάλα συντάξας εὐφυῶς Ἕλλησιν*

259 (267)] *Ἀτασθαλίῃσι νόοιο*

Et. Gud. v. *ἀτασθαλία· ἡ περὶ τὸν οἶνον ἀταξία· καὶ 'ἀτασθαλίῃσι νόοιο', οὕτως ἐν Ἡσιόδῳ*

260 (16)] Narrat. fabul. Ovid. Metam. II fab. 5, 6 p. 797 St. de Callistone: *quae a Iove cum Arcade filio, quem erat*

---

256 ad Oper. 130 pertinere suspicatur Kinkel
257 ad Oper. 757 referendum?
258 Georgium Monachum ad Opera respexisse putat Sittl
259 ad Oper. 685 (*αἰδρείῃσι νόοιο*) pertinere suspicatus est Gaisford; ad Homerum rettulerit Nauck
260 ex Hom. Σ 489 ε 275 pendere iudicat Sittl

enixa, inter sidera conlocatur. a Graecis autem Helice, a nostris septentrio nuncupatur et a Tethy et Oceano ob Iunonis iram inter cetera sidera liquore non tingitur, ut auctor Hesiodus indicat

261 (254)] *ἄρκυς*

Et. Gud. v. *ἄρκυς· εἶδος δικτύου ἐκ παχέος σχοινίου, ὃ ἱστᾶσι πρὸς θήραν λεόντων ἢ ἄρκτων ἢ ἐλάφων. καὶ δασύνεται, ἐκ τοῦ εἴργω τοῦ κωλύω, τροπῇ τῆς ει διφθόγγου εἰς ᾱ. Ἡσίοδος·*

cf. Et. mag. v. *ἄρκυς* Anecd. Ox. II 336, 427 Cr.

262] *Αἰὲν . . μὴ . . πετῆνα γενέσθαι*

Et. gen. v. *ζαῆν ἄνεμον· τὸν σφοδρῶς πνέοντα . . . ὡς παρὰ τὸ πέτω γίνεται πετήν· Ἡσίοδος 'αἰὲν μὴ πετῆνα γενέσθαι'*

263 (226)] *Ποταμῷ* †*ῥέοντι ἐοικώς*

Servius in Vergil. Georg. I 245 *in morem fluminis*] *Hesiodus 'ποταμῷ ῥέοντι ἐοικώς'*

264 (228)] *Ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν*

Schol. Ambros. Hom. *η* 104 *μύλη γὰρ καὶ τὸ ἄκρον τοῦ μηροῦ. καὶ Ἡσίοδος γάρ φησι τὸ 'ἀλετρεύουσι — καρπόν' ἐπὶ τῆς ἠλακάτης τῆς στρεφομένης δίκην μύλης. μήλοπα γὰρ τὸν τῶν προβάτων καρπόν, ἤτοι τὸν μαλλόν*

---

261 *Ἡσίοδος*] *Ἡρωδιανός* Marckscheffel

262 pro dubio habuit Ritschl; lyrico cuidam poetae adscripserit Hermann *αἰὲν* Et. gen. cod A, *ἀιέν με* Ludwich *με πετῆνα* Hermann

263 Astronomiae attribuit Maaß; nomina Hesiodi et Homeri confusa esse suspicatur Nauck; ad Scut. 314 pertinere censet Peppmüller *ῥέοντι* Servius, *ῥείοντι* Lobeck, *πλήθοντι* Nauck

264 in Catalogi fragmentis collocavit Marckscheffel *Ἡσίοδος*] *Ἡλιόδωρος* Sittl

265 (244)] *Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν, Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ*

1—3 Schol. Pind. Nem. II 1 *Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω φησὶν αὐτοὺς (τοὺς ῥαψῳδοὺς) προσκεκλῆσθαι· δηλοῖ δὲ ὁ Ἡσίοδος λέγων· ʻἐν — Λητώʼ*

1. 2 Eustathius Hom. 6, 14 *καὶ φέρεται εἰς τὴν τοιαύτην ἔννοιαν Ἡσιόδου ῥῆσις αὕτη ἐν μέτρῳ ἡρῴῳ· ʻἐν Δήλῳ — ἀοιδήνʼ*

266 (269)] Schol. (paraphr.) Lycophr. 822 p. 71 Sch. *πρῶτος Ἡσίοδος τῆς Ἑλένης τὸ εἴδωλον παρήγαγε*

267 (259)] *τέτορες*

Phavorinus Eclog. Gramm. Gr. I 421, 29 D. *τέτορας Δωρικῶς λεχθέν, οὗ εὐθεῖα κεῖται παρ' Ἡσιόδῳ*

268 (23)] Narrat. fabul. Ovid. Met. fab. I p. 788 St. *ex terra cum omnia generata sint variarumque rerum mater reperiatur, tum humanum genus, quod cuncta vinceret, Prometheus Iapeti filius, ut idem Hesiodus ostendit, ex humo finxit, cui Minerva spiritum infudit*

269 (274)] *Χαλεπὸς δ' ἐπὶ δράγματι λιμός*

265, 1 *τὸ* Paulson

266 Stesichori esse arbitratur Marckscheffel *τῆς Ἑλένης* Buecheler, *περὶ τῆς Ἑλένης* schol., *περὶ τῆς Ἑλένης λέγων* Geel, *περιόδῳ γῆς* (in tertio Catalogi libro) *Ἑλένης* Bergk

267 delendum esse censuit Nauck verbis hunc in modum mutatis: *οὗ οὐδέτερον κεῖται παρ' Ἡσιόδῳ* (cf. Op. 698)

268 solam Promethei genealogiam commemorari arbitratur Sittl *variarumque* ⟨*ea*⟩ C. Schenkl

269 Hesiodo tribuerunt Hertlein et Bergk *ἐπὶ τῷ δράγματι* V, *ἐπὶ δράχματι* Marcian. 251 Monac. 113, *ἐπὶ δράματι* Paris. 3029, *ἐπὶ δώματι* volgo, quod recepit Hertlein

Iulianus Misop. p. 369 b *εἰ δὲ τοσαῦτα μέτρα ϑέρους ἦν παρ' ὑμῖν τοῦ νομίσματος, τί προσδοκᾶν ἔδει τηνικαῦτα, ἡνίκα, φησὶν ὁ Βοιώτιος ποιητής, χαλεπὸν γενέσϑαι τὸν λιμὸν ἐπὶ δράγματι;*

270 (251)] *Αἴγλη τ'⟩ ἠδ' Ἐρύϑεια καὶ Ἑσπερέϑουσα βοῶπις*

Servius in Vergil. Aen. IV 484 *Hesiodus has Hesperidas Aeglen Erytheam et Hesperethusam, Noctis filias, ultra Oceanum mala aurea habuisse dicit*

Schol. Clement. Protrept. I p. 302, 34 St. *παρ' Ἑσπερίδων] Ἑσπερίδες νύμφαι τινὲς νόμιοι οὕτω λεγόμεναι, αἳ φυλάττουσαι τὰ λεγόμενα χρύσεα μῆλα· 'ἡ δὲ Ἐρύϑεια καὶ Ἑσπερέϑουσα βοῶπις', ὥς φησιν Ἀπολλώνιος ὁ Ῥόδιος*

cf. Tzetzes Theog. 118 sq.

271 (268)] *Μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦϑον ἀκούσῃς*

Aristophanes Vesp. 725 *ἦ που σοφὸς ἦν, ὅς τις ἔφασκεν, πρὶν ἂν ἀμφοῖν μῦϑον ἀκούσῃς, | οὐκ ἂν δικάσαις*

Cicero ad Attic. VII 18 *ego autem etsi illud ψευδησιόδειον — ita enim putatur — observo, μηδὲ δίκην, praesertim in te, a quo nihil umquam vidi temere fieri, tamen illius querela movebar*

Plutarchus Mor. 1034 e *πρὸς τὸν εἰπόντα· 'μηδὲ — ἀκούσῃς' ἀντέλεγεν ὁ Ζήνων . . .*

---

270 *Αἴγλη τ'⟩* Unger, qui nominibus confusis Apollonium pro Hesiodo commemorari exposuit; dissentit Seeliger *ἡ δὲ ἐρυϑία* codd. PM, corr. Unger *Aeglen*] *egle* codd. FT *Erytheam*] *eriteren* cod. F, *eritheren* cod. T; ex Apollod. II 5, 11, 2 corr. Thilo *Hesperethusam* Unger, *hesperitusam* F, *haesperithusa* T, *Hesperiam Arethusam* ex Apollodoro Thilo

271 ad 'Chironis praecepta' rettulit Schneidewin *πρὶν ἂν ἀμφοῖν* Aristophanes schol. Aristoph. Plutarchus, *πρὶν ἄμφω* Pseudophocylidea Luciani codd. pars, *πρὶν ἀμφοῖν* testes ceteri

praeterea versum exhibent Pseudophocyl. 87 Pseudoplato Demod. p. 383 B, C Lucianus Calumn. n. tem. cred. 8 Schol. Medic. Aeschyl. Eum. 431 Schol. Eurip. Androm. 957 Schol. Aristoph. Vesp. 725 Schol. Thucyd. I 44 Paroemiogr. Gr. II 759,14; cf. Schol. Eurip. Hipp. 264 Gregorius Naz. Epist. 218

272 (247)] *Δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας*

Plato de Rep. III p. 390 E *οὐδ' ᾀστέον αὐτοῖς ὅτι 'δῶρα — βασιλῆας'*

Suidas v. *δῶρα· 'δῶρα — βασιλῆας'. οἱ μὲν Ἡσιόδειον οἴονται τὸν στίχον, εἴρηται δὲ καὶ Πλάτωνι ἐν τρίτῃ Πολιτείᾳ*

273 (271)] *Ἑβδομάτῃ δ' αὖτις λαμπρὸν φάος ἠελίοιο*

Clemens Strom. V 14, 107 *Ἡσίοδος μὲν οὕτως περὶ αὐτῆς (τῆς ἑβδόμης ἡμέρας) λέγει· 'πρῶτον — ἦμαρ'* (Op. 770), *καὶ πάλιν 'ἑβδομάτῃ — ἠελίοιο'*

unde sua Eusebius Praep. ev. XIII 12, 13 cf. idem l. c. XIII 13, 34

274 (265)] *Φοῖβον ὕδωρ ἐπάγων κέρασ' Ὠκεανοῖο ῥοῇσι*

Apollonius Lex. v. *Φοῖβος . . . . φοῖβον δὲ κατὰ γλῶτταν τὸ καθαρόν, ὡς καὶ Ἡλιόδωρος· 'φοῖβον — ῥοῇσι'*

275 (12)] *Τηϋγέτη τ' ἐρόεσσα καὶ Ἠλέκτρη κυανῶπις*
Ἀλκυόνη τε καὶ Ἀστερόπη δίη τε Κελαινὼ
Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας

---

272 *δῶρ'*] *καὶ* Suidas

273 v. a falsariis Iudaeis fictum esse censuit Valckenaer; ad Operum recensionem quandam pertinere ratus est Hermann *ἑβδομάτῃ* Eusebius l. utroque *αὖτις* Eusebius XIII 13, 34, *αὖθις* Clemens Eusebius l. altero

274 Heliodori, poetae epigrammatici, esse censet Sittl *κέρασ'* Bekker, *κέρας* cod. *Ἡλιόδωρος*] *Ἡσίοδος* Villoison

275 fragmentum cum proximo Astronomiae esse censet Marckscheffel, 'Musaeo' tribuerit Sittl 2 *θείη* Hartel, sed cf. Theog. 260 †*ὧν οἱ ἀστέρες οὗτοι*] *ὡς* codd. BD; *ὡς ὁ Ἄρατος, αὗται* Hecker, ⟨*Ἡσίοδος δ'*⟩ *ὅτι ἀστέρες οὕτω* C. Schenkl

Schol. Pind. Nem. II 16 *ζητεῖται δὲ διὰ τί ὀρείας εἶπε τὰς Πλειάδας. καί τινες μὲν ἔφασαν, ὅτι νύμφαι ἦσαν, †ὧν οἱ ἀστέρες οὗτοι· 'Τηϋγέτη — Ἄτλας'*

276 (13)] *Κυλλήνης ἐν ὄρεσσι θεῶν κήρυκα τέχ' Ἑρμῆν*
Schol. Pind. Nem. II 16 *Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων Μαῖαν ὀρείαν προσηγόρευσεν εἰπών· 'Μαιάδος οὐρείας ἑλικοβλεφάρου'· †κατὰ λόγον· αὕτη γὰρ 'Κυλλήνης — Ἑρμῆν'·* unde sua Tzetzes in Lycophr. 219 sqq.

277 (264)] *Ἀσπληδὼν Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής*
Stephanus Byz. v. *Ἀσπληδών· Ὀρχομενοῦ δὲ υἱεῖς 'Ἀσπληδὼν — θεοειδής'* cf. Eustathius Hom. 272, 18

278 (174)] *Τελαμὼν ἀκόρητος ἀυτῆς*
ἡμετέροις ἑτάροισι φόως πρώτιστος ἔθηκε
κτείνας ἀνδρολέτειραν ἀμώμητον Μελανίππην,
αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης
Schol. Pind. Nem. III 64 *περὶ τοῦ καὶ ἐπὶ τὰς Ἀμαζόνας συστρατεῦσαι· 'Τελαμὼν — ἀνάσσης'*

ΑΠΟΣΠΑΣΜΑΤΑ
ΚΙΒΔΗΛΑ ΚΑΙ ΨΕΥΔΕΠΙΓΡΑΦΑ

1 (208)] Aristoteles Hist. Anim. VIII 18, 2 *τὰ μὲν οὖν γαμψώνυχα, καθάπερ εἴρηται πρότερον, ὡς ἁπλῶς εἰπεῖν, ἄποτα*

---

276 Astronomiae adscripserit Marckscheffel, Catalogo Schneidewin *θεὸν* BTU *αὕτη γὰρ κατὰ τὸν α' κατάλογον* Bergk
277 Hesiodo versum dederunt Buttmann et Hermann
278 cf. Pind. Nem. III 36—39; Ehoearum fragmentum esse iudicat Luebbert, Cinaethoni dat Corey

πάμπαν ἐστίν· ἀλλ' Ἡσίοδος ἠγνόει τοῦτο· πεποίηκε γὰρ τὸν τῆς μαντείας πρόεδρον ἀετὸν ἐν τῇ διηγήσει τῇ περὶ τὴν πολιορκίαν τὴν Νίνου πίνοντα

2] Nicander Ther. 8 sqq.
ἀλλ' ἤ τοι κακοεργὰ φαλάγγια, σὺν καὶ ἀνιγροὺς
ἑρπηστὰς ἔχιάς τε καὶ ἄχθεα μυρία γαίης
Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος, εἰ ἐτεόν περ
Ἀσκραῖος μυχάτοιο Μελισσήεντος ἐπ' ὄχθαις
Ἡσίοδος κατέλεξε παρ' ὕδασι Περμησσοῖο

cf. Schol. Nicandr. Ther. 11 *ἰστέον δὲ ὅτι ψεύδεται Νίκανδρος ἐνταῦθα. οὐδαμοῦ γὰρ τοῦτο εἶπεν* (*ὁ Ἀσκραῖος*) *ἐν τοῖς πραττομένοις . . . περὶ γοῦν τῆς τῶν δακνόντων θηρίων γενέσεως, ὅτι ἐστὶν ἐκ τῶν Τιτάνων τοῦ αἵματος, παρὰ μὲν τῷ Ἡσιόδῳ οὐκ ἔστιν εὑρεῖν. Ἀκουσίλαος δέ φησιν ἐκ τοῦ αἵματος τοῦ Τυφῶνος πάντα τὰ δάκνοντα γενέσθαι*

3] Et. gen. v. *εἰλυφάζω· Ἡσίοδος· 'ἄνεμος φλόγα εἰλυφάζων'*

4] Eustathius Hom. 124, 37 *ὁ δὲ ποιητής φησι καὶ ὅτι τοῦ πατρὸς ἀμείνων ἦν, ὅπερ σπάνιον κατὰ τὸν Ἡσίοδον λέγοντα· 'παῦροι δέ τε πατρὸς ἀρείους'* cf. idem Hom. 447, 26

5] Lucianus Hermot. 3 *ἀλλὰ τήν γε ἀρχὴν ὁ αὐτὸς οὗτος Ἡσίοδος ἥμισυ τοῦ παντὸς ἔφη εἶναι*

5b] Schol. Lycophr. 1393 *ὁ δὲ Ἐρυσίχθων Αἴθων ἐκαλεῖτο, ὥς φησιν Ἡσίοδος, διὰ τὸν λιμόν*

---

1 *Ἡρόδοτος* (pro *Ἡσίοδος*) scribendum esse exposuit Navarre; fragmentum ad Ornithomantiam rettulit Bergk

2 vix falsis adnumerandum esse iudicat Schoemann; ad Theogoniae recensionem quandam pertinere existimat Bergk

3 confusi loci Hom. *Υ* 492 et Hesiod. Theog. 692

4 est versus Hom. *β* 277

5 cf. Hes. Op. 40

5b Op. 363 grammaticum in mente habuisse probavit Marckscheffel; cf. Callim. Hymn. Cer. 67 sq.

6] Schol. Palat. in Simiae Alas Amor. p. 83, 24 Haeb. *Ἀκμονίδαν δὲ τὸν Οὐρανόν· Ἡσίοδος· 'Γαῖα μὲν Ἄκμονα ἔτικτεν· ἀπὸ δ' Ἄκμονος Οὐρανός'*

7] Schol. Medic. Aeschyl. Prom. 367 *Κιλίκων· οἰκήσαντα μὲν ἐν Κιλικίᾳ, κολασθέντα δὲ ἐν Σικελίᾳ. Ἡσίοδος δὲ 'τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον'*

8] Anecd. Graeca V 144 Boiss. *ὁ μὲν γὰρ Ἡσίοδος σοφόν φησιν εἶναι τὸν πολλὰ εἰδότα φυᾷ*

9] Strabo I p. 59 *καὶ ἡ πρότερον δὲ Ἀρτεμίτα λεγομένη μία τῶν Ἐχινάδων νήσων ἤπειρος γέγονε . . . συγχοῦνται δὲ καὶ αἱ λοιπαί, ὡς Ἡσίοδός φησιν*

10] Hieronymus Epitaph. Nepot. t. IV 273 M. *et Hesiodus natales hominum plangens gaudet in funere*

11] Theo Progymn. c. VI Rhet. Gr. I 217, 9 W. *δεύτερον δὲ ἀπὸ τοῦ ἀδυνάτου ἐπιχειρήσομεν, δεικνύντες ὅτι ἀδύνατον τὸ πρᾶγμα οὕτω γενέσθαι, ὥς φησιν ὁ συγγραφεύς, ἤ τοι διὰ τὸ μηδόλως πεφυκέναι γίνεσθαι, ἢ διὰ τὸ μὴ κατὰ τὸν αὐτὸν χρόνον εἶναι τὰ ἱστορούμενα, οἷον πρὸς τοὺς λέγοντας, ὅτι Ἡρακλῆς ἀπέκτεινε Βούσιριν· κατὰ γὰρ Ἡσίοδον πρεσβύτερος Ἡρακλέους ἐστὶν ὁ Βούσιρις ἕνδεκα γενεαῖς*

---

6 Alcmanis esse (cf. Eust. Hom. 1154, 25) censuit Hermann; e Titanomachia esse deprompta arbitratur Bergk; *Γαῖα μὲν Ἄκμον' ἔτικτεν* Hesiodo adscribit Sittl

7 Pindarum Pyth. I 30 ab Hesiodo versum mutuatum esse (cf. Schulze Quaest. ep. 154 adn. 1) existimavit Mess, cui adversatus est Usener Rh. Mus. LVI 186

8 Pindari est Ol. II 154

9 *Ἡρόδοτος* recte Coraes

10 pertinere videtur ad Euripidis Cresph. Fr. 449 p. 498 N.[2]

11 '*Ἰσοκράτην*' pro '*Ἡσίοδον*' scribendum esse probavit Kontos

12] Schol. Theocrit. I 27 schol. Lucian. de die nef. p. 210, 16 R. Et. gen. v. *κισσύβιον*· . . . *Ἡσίοδος*· *'ὀλίγῳ δ' ἥδετο κισσυβίῳ'*

12b] Plutarchus Mor. p. 553 f *τὰ λοιπὰ δ' Ἡσιόδου χρὴ νομίζειν ἀκροᾶσθαι* . . . p. 554 a *'ἡ γὰρ κακή', φησί, 'βουλὴ τῷ βουλεύσαντι κακίστη'* (Op. 266). *καί 'ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει'*

Fragm. Marcianum ed. Hercher Herm. III 385, 13 *καὶ τὸ τοῦ Ἡσιόδου πληρούμενον 'ὃς κακὸν ἄλλῳ τεύχων ἑῷ κακὸν ἥπατι τεύχει'*

13 (273)] Eustathius Hom. 1318, 7 . . *τὸ ὑπερβαίνειν καὶ ἡ ἐξ αὐτοῦ ὑπερβασία, ἧς καὶ παρ' Ἡσιόδῳ χρῆσίς ἐστιν, ἐν τῷ 'ὑπερβασίαι δ' ἀλεγειναί'*

14] Et. gen. v. *βύβλος*· *Ἡσίοδος ἐν Ἀσπίδι οἷον 'Βύβλον τ' ἀγχίαλον καὶ Σιδῶν' ἀνθεμόεσσαν'*

15 (199)] Fulgentius Mitol. III 1 (p. 59 sq. Helm) *Pritos Panfila lingua sordidus dicitur sicut Esiodus in bucolico carmine scribit 'προῖτος σταφυλάων | εὖ λακτιζομένων αἱμορ-*

---

12 Callimachi est Fr. 109, 2 Schn. *ὀλίγον* schol. Theocrit. *δ'* (*δὲ* schol. Lucian.) *ἥδεται* schol. Lucian. Et. gen., *δὲ εἴσεται* schol. Theocrit.

12b confunditur Callimachi Fr. 222 Schn. cum Hes. Op. 265

13 *ὑπερβασίαι δ' ἀλεγειναί* in Pseudophoc. v. 36 et 69 B.[4] legitur; an ad Op. 828 referendum?

14 est versus Dionysii Perieg. 912

15 Hesiodo primus abiudicavit Scriverius; ex Euphorionis 'Hesiodo' versiculos depromptos esse existimat Unger; de fragmento cf. Jungmann Coniect. Fulgent. 37 sqq. et Kaibel Herm. XV 449 sq. *pritos* Helmii cod. G, *peprigos* codd. *αβ* (*peprigros* cod. E), *pepigros* codd. HM: unde *Προῖτος* Casaubonus, ⟨*ὁ*⟩ *δὲ Προῖτος* Ritschl, *βεβριθὼς* Fröhlich, *πεπρηθὼς* (*αἱμόρ-*

ῥάντοισι ⟨*δρόσοισιν*⟩*' id est sordidus uvarum bene calcatarum sanguineo rore*

15b] Athenaeus III 116a *Εὐθύδημος ὁ Ἀθηναῖος . . . ἐν τῷ περὶ ταρίχων Ἡσίοδόν φησι περὶ πάντων τῶν ταριχευομένων τάδ' εἰρηκέναι·*

ὄμφακες [μὲν] πρῶτον στόμα κέκριται† αντα καὶ θιοιην
γναθμὸν ⟨*ὃν*⟩ *ηὐδάξαντο δυσείμονες ἰχθυβολῆες,*
οἷς ὁ ταριχόπλεως ἅδε Βόσπορος, οἵ θ' ὑπόγαστρα
τμήγοντες τετράγωνα ταρίχια τεκταίνονται.
ναὶ μὴν οὐκ ἀκλεὲς θνητοῖς γένος ὀξυρρύγχου,
ὃν καὶ ὅλον καὶ τμητὸν Ἀλεξανδρεῖς ἐκόμισσαν.
θύννων δ' ὡραίων Βυζάντιον ἔπλετο μήτηρ
καὶ σκόμβρων κυβίων τε καὶ εὐχόρτου † λικιβάττεω
καὶ Πάριον κολιῶν κυδρὴ τροφὸς ἔσκε πολίχνη·
Ἰόνιον δ' ἀνὰ κῦμα φέρων Γαθειρόθεν ἄξει
Βρέττιος ἢ Καμπανὸς ἢ ἐκ ζαθέοιο Τάραντος
ὀρκύνοιο τρίγωνα, τά τ' ⟨*ἐν*⟩ *στάμνοισι τεθέντα*
ἀμφαλλὰξ δείπνοισιν ἐνὶ πρώτοισιν ὀπηδεῖ.

ῥοον . . ἐέρσην 'emittens sanguineum rorem') Jungmann, *φυρτὸς* C. Schenkl secuntur in codd. corrupta haec: *ista fuluculactis* (*ūlancis* T) *menes emoru* (*semoru* P, *emorum* TDβα [MH] β; *ista fulveo* (*fulueu* M) *lactis mene somoru* (*semoru* M) HM; unde *σταφυλάων* | *εὖ λακτιζομένων* Leutsch, *σταφυλῆφι* | *εὖ λακτιζομένης* Ritschl, *αἱμορράντοισι* Peppmüller, *αἱμορραγέεσσι* ipse conieci, *αἱμοσταγέεσσι* Unger ⟨*δρόσοισιν*⟩ Unger

15b ab Hesiodo alienum 1 [*μὲν*] del. Bergk *κέκριται* Kaibel, *καὶ κριται* cod. A *ἂν τακερωθῇ?* dubitans Kaibel 2 ⟨*ὃν*⟩ Kaibel 3 *ταριπόλεως* A, corr. Casaubonus *οἱ πυθόγαστροι* A, corr. Hermann 4 *τετρωαγωνα* A, corr. Musurus *ταρίχια* Coraes, *ταχητρια* A 5 *οξυορύγχου* A, corr. Meineke 6 *Ἀλεξανδρεῖς* scripsi, *ἅλες τρηχεῖς* A 8 *κυβίων* Meineke, *βυθίων* A 9 *κωλιων* A, corr. CE 10 *φέρων* Kaibel, *φεύγων* A, *φυγὼν* Musurus *γαδείραθεν* A, corr. Meineke 11 *ἐκ ζαθέοιο* Kaibel, *ἐξ ἀγαθοῖο* A 12 ⟨*ἐν*⟩ add. Musurus

ταῦτα τὰ ἔπη ἐμοὶ μὲν δοκεῖ τινος μαγείρου εἶναι μᾶλλον ἢ τοῦ μουσικωτάτου Ἡσιόδου. πόθεν γὰρ εἰδέναι δύναται Πάριον ἢ Βυζάντιον ἔτι δὲ Τάραντα καὶ Βρεττίους καὶ Καμπανοὺς πολλοῖς ἔτεσι τούτων πρεσβύτερος ὤν; δοκεῖ οὖν μοι αὖ τοῦ Εὐθυδήμου εἶναι τὰ ποιήματα

16] Schol. ('Lactantius Placidus') Stat. Theb. III 483 *prima opinio est ab Hesiodo: futura praedicere, quia supernus conditor orbis, cum chaos figuraret in semina, hanc illis potestatem concessit*

17] Schol. ('Lactantius Placidus') Stat. Theb. IV 482 *quidam enim volunt non Iovis † filium esse Mercurium, sed † Pyrrhae — in qua opinione etiam Hesiodus versatur in his libris, quos de Theogonia scripsit, quidam Persei*

18 (218)] Proclus Proleg. in Hesiod. Op. p. 4, 18 G. *ταῦτα μὲν οὖν καὶ ἐν ἄλλοις εἴρηται. νῦν δὲ τῶν ἐν τῷ βιβλίῳ λέξεων τὰς δεομένας σαφηνείας διερμηνεύσωμεν* ... D'Orvillii codex additum habet: *ῥήσεις Ἡσιόδου· 'μουσοπνόων στομάτων'. ἄλλως*

19] Athenagoras lib. pro Christ. 14 (*ἵδρυνται θεούς* . . . .) *ἀλκμὰν καὶ ἡσίοδος μήδειαν ἢ νιόβην*

20] Hesychius v. *Ἀργείη· Πελοποννησία· λευκὴν δὲ Ἡσίοδος*

---

16 Hesiodeum nihil praeter chaos, cf. Wilamowitz Herm. XXXIV 603

17 de scholio graviter corrupto cf. Wilamowitz l. c. 603 sq.

18 cf. Sittl Wien. St. XII 60

19 *Ἀκαρνᾶνες Ἀμφίλοχον, Μῆδοι Δηιόκην, ⟨Μόψον⟩ Κίλικες* Schwartz; *Κερκυραῖοι* vel *Ἀσκραῖοι Ἡσίοδον κτλ.* Sauppe

20 *Ἡσίοδος*] *Ἡλιόδωρος* Ruhnken

21] Hesychius v. ἄμφουδις· περὶ τὸ ἔδαφος· ὁ δὲ Ἡσίοδος ἀμφοτέραις ταῖς χερσὶν εἰς τὸ οὖδας ῥίπτων

22] Et. mag. v. λάταξ· παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ στάζω, στὰξ καὶ λάταξ ἡ μεγάλη σταγών, Ἡσίοδος

---

21 Ἡσίοδος] Ἡλιόδωρος Ruhnken, Ἡρωδιανὸς Hermann
22 Ἡσίοδος] Ἡρωδιανός Ruhnken

ΟΜΗΡΟΥ ΚΑΙ ΗΣΙΟΔΟΥ ΑΓΩΝ

NOTAE LIBRORUM

F = cod. Florentinus bibl. Laurentianae LVI 1 saec. XIV

*   *   *

A = lacinia papyri Flinders Petrie (tab. XXV ed. Mahaffy) saec. ut videtur III a. Chr.

ΠΕΡΙ ΟΜΗΡΟΥ ΚΑΙ ΗΣΙΟΔΟΥ ΚΑΙ ΤΟΥ ΓΕΝΟΥΣ ΚΑΙ ΑΓΩΝΟΣ ΑΥΤΩΝ

Ὅμηρον καὶ Ἡσίοδον τοὺς θειοτάτους ποιητὰς πάντες ἄνθρωποι πολίτας ἰδίους εὔχονται γενέσθαι. ἀλλ' Ἡσίοδος μὲν τὴν ἰδίαν ὀνομάσας πατρίδα πάντας τῆς φιλονεικίας ἀπήλλαξεν εἰπὼν ὡς ὁ πατὴρ αὐτοῦ

εἴσατο δ' ἄγχ' Ἑλικῶνος ὀιζυρῇ ἐνὶ κώμῃ
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.

Ὅμηρον δὲ πᾶσαι ὡς εἰπεῖν αἱ πόλεις καὶ οἱ ἄποικοι αὐτῶν παρ' ἑαυτοῖς γεγενῆσθαι λέγουσιν. καὶ πρῶτοί γε Σμυρναῖοι Μέλητος ὄντα τοῦ παρ' αὐτοῖς ποταμοῦ καὶ Κρηθηίδος νύμφης κεκλῆσθαί φασι πρότερον Μελησιγένη, ὕστερον μέντοι τυφλωθέντα Ὅμηρον μετονομασθῆναι διὰ τὴν παρ' αὐτοῖς ἐπὶ τῶν τοιούτων συνήθη προσηγορίαν. Χῖοι δὲ πάλιν τεκμήρια φέρουσιν ἴδιον εἶναι πολίτην λέγοντες καὶ περισῴζεσθαί τινας ἐκ τοῦ γένους αὐτοῦ παρ' αὐτοῖς Ὁμηρίδας καλου-

Versuum numeros editionis meae maioris in margine exteriore posui

2 *γενέσθαι* Barnes, *λέγεσθαι* F   5 *εἴσατο* F, corr. Stephanus, *νάσσατο* Hes. Op. 639   6 *οὐδέ*] *δέ* in ras. F   7 *ἄποικοι* Hermann, *ἔποικοι* F   8 *γεγεννῆσθαι* F   9 *γε* Stephanus, *τὲ* F   10 *Κρηθηίδος* cf. 25, *κρηιθίδος* F, *Κριθηίδος* Barnes   11 *μελησιγενῆ* F   15 *αὐτοῖς* F, corr. Westermann

μένους. Κολοφώνιοι δὲ καὶ τόπον δεικνύουσιν, ἐν ᾧ φασιν αὐτὸν γράμματα διδάσκοντα τῆς ποιήσεως ἄρξασθαι καὶ ποιῆσαι πρῶτον τὸν Μαργίτην.

περὶ δὲ τῶν γονέων αὐτοῦ πάλιν πολλὴ διαφωνία παρὰ πᾶσίν ἐστιν. Ἑλλάνικος μὲν γὰρ καὶ Κλεάνθης Μαίονα λέγουσιν, Εὐγαίων δὲ Μέλητα, Καλλικλῆς δὲ Μνασαγόραν, Δημόκριτος δὲ ὁ Τροιζήνιος Δαήμονα ἔμπορον, ἔνιοι δὲ Θαμύραν, Αἰγύπτιοι δὲ Μενέμαχον ἱερογραμματέα, εἰσὶ δέ, οἳ Τηλέμαχον τὸν Ὀδυσσέως· μητέρα δὲ οἱ μὲν Μῆτιν, οἱ δὲ Κρηθηΐδα, οἱ δὲ Θεμίστην, οἱ δὲ Ὑρνηθώ, ἔνιοι δὲ Ἰθακησίαν τινὰ ὑπὸ Φοινίκων ἀπεμποληθεῖσαν, οἱ δὲ Καλλιόπην τὴν Μοῦσαν, τινὲς δὲ Πολυκάστην τὴν Νέστορος. ἐκαλεῖτο δὲ Μέλης, ὡς δέ τινές φασι, Μελησιγένης, ὡς δὲ ἔνιοι, Ἄλτης. ὀνομασθῆναι δὲ αὐτόν φασί τινες Ὅμηρον διὰ τὸ τὸν πατέρα αὐτοῦ ὅμηρον δοθῆναι ὑπὸ Κυπρίων Πέρσαις, οἱ δὲ διὰ τὴν πήρωσιν τῶν ὀμμάτων· παρὰ γὰρ τοῖς Αἰολεῦσιν οὕτως οἱ πηροὶ καλοῦνται. ὅπερ δὲ ἀκηκόαμεν ἐπὶ τοῦ θειοτάτου αὐτοκράτορος Ἀδριανοῦ εἰρημένον ὑπὸ τῆς Πυθίας περὶ Ὁμήρου, ἐκθησόμεθα. τοῦ γὰρ βασιλέως πυθομένου, πόθεν Ὅμηρος καὶ τίνος, ἀπεφοίβασε δι' ἑξαμέτρου τόνδε τὸν τρόπον·

21 *Μαίονα* Sturz, ///*αιονα* F *εὐ///αίων* F, rest. Meineke 22 *Μνασαγόραν* Rohde, *μασαγόϱ* (altera littera incerta) F, *Μασσαγόραν* Tzetzes Alleg. Hom. Iliad. 60, *Δμασαγόραν* Barnes, *Μαιαγόραν* Nietzsche *Δημόκριτος*] *Δημήτριος* Wilamowitz *ὁ* rest. Nietzsche, vocula evanuit in F 23 *Θαμύραν*] dimidium alterum litterae primae et prius litterae *α* evanida in F 24 ///*ρογραμματέα* F, cf. Tzetzes l. c. 61, rest. Nauck *ὀδυ///σέως* F 25 ///*ρηθηΐδα* F *Θεμιστώ* Barnes 26 *Ὑρνηθώ* dubitans Westermann, *εὐγνηθώ* F (*Ὀρνιθοῦς* Tzetzes Alleg. Hom Iliad. 65) 29 *μελησιγενὴς* F 30 *Ἄλτης* e schol. Hom. *X* 51 Welcker, *αὐλητὴν* F, *Αὐλήτης* Boissonade, qui quae secuntur recte distinxit; post *φασί* et *Ὅμηρον* interpungit F *δὲ* om. F, *δ'* Westermann 34 *ἀδιανοῦ* F, corr. apographum Stephani

ἄγνωστόν μ' ἔρεαι γενεὴν καὶ πατρίδα γαῖαν
ἀμβροσίου σειρῆνος. ἔδος δ' Ἰθακήσιός ἐστιν,
Τηλέμαχος δὲ πατὴρ καὶ Νεστορέη Ἐπικάστη
μήτηρ, ἥ μιν ἔτικτε βροτῶν πολὺ πάνσοφον ἄνδρα.

οἷς μάλιστα δεῖ πιστεύειν διά τε τὸν πυθόμενον καὶ τὸν ἀποκρινάμενον, ἄλλως τε οὕτως τοῦ ποιητοῦ μεγαλοφυῶς τὸν προπάτορα διὰ τῶν ἐπῶν δεδοξακότος.

ἔνιοι μὲν οὖν αὐτὸν προγενέστερον Ἡσιόδου φασὶν εἶναι, τινὲς δὲ νεώτερον καὶ συγγενῆ. γενεαλογοῦσι δὲ οὕτως· Ἀπόλλωνός φασι καὶ Αἰθούσης τῆς Ποσειδῶνος γενέσθαι Λίνον, Λίνου δὲ Πίερον, Πιέρου δὲ καὶ νύμφης Μεθώνης Οἴαγρον, Οἰάγρου δὲ καὶ Καλλιόπης Ὀρφέα, Ὀρφέως δὲ Δρῆν, ⟨τοῦ δὲ Εὐκλέα⟩, τοῦ δὲ Ἰαδμονίδην, τοῦ δὲ Φιλοτέρπην, τοῦ δὲ Εὔφημον, τοῦ δὲ Ἐπιφράδην, τοῦ δὲ Μελάνωπον, τούτου δὲ Δῖον καὶ Ἀπελλῆν, Δίου δὲ καὶ Πυκιμήδης τῆς Ἀπόλλωνος θυγατρὸς Ἡσίοδον καὶ Πέρσην· Ἀπελλοῦ δὲ Μαίονα, Μαίονος δὲ καὶ θυγατρὸς Μέλητος τοῦ ποταμοῦ Ὅμηρον.

τινὲς δὲ συνακμάσαι φασὶν αὐτοὺς ὥστε καὶ ἀγωνίσασθαι ὁμόσε ἐν Χαλκίδι τῆς Εὐβοίας. ποιήσαντα γὰρ τὸν Μαργίτην Ὅμηρον περιέρχεσθαι κατὰ πόλιν ῥαψῳδοῦντα, ἐλθόντα δὲ καὶ εἰς Δελφοὺς περὶ τῆς

---

40 *νεστορίη* F *Πολυκάστη* primitus scriptum fuisse suspicatur Nietzsche 46 *δὲ*] *δ'* Westermann, *τὲ* F 47 *Αἰθούσης* Charax ap. Suidam v. *Ὅμηρος*, *καὶ θοώσης* F 48 *λῖνον* F 50 *Δρῆν* e Charace Goettling, *ὄρτην* F, *Ὄθρυν* Barnes, *Ὄτρυν?* Welcker ⟨*τοῦ δὲ Εὐκλέα*⟩ e Charace Goettling 51 *Ἰαδμονίδην* coll. Herod. II 134 et Plut. Mor. p. 557 a Nietzsche, *ἁρμονίδην* F 53 *Ἀπελλῆν* Charax ap. Suidam, *Ἀπέλλαιον* F, *Ἀπέλλην* (*Ἀπελλέα?*) Nietzsche 54 *Ἀπέλλου* (*Ἀπελλέους?*) Nietzsche, *πέρσου* F, *Ἀπελλαίου* Sittl 55 *καὶ θυγατρὸς* Nietzsche, *θυγατρὸς καὶ* F 57 *ἐν Χαλκίδι τῆς Εὐβοίας* idem, *ἐν αὐλίδι τῆς βοιωτίας* F

πατρίδος αὐτοῦ πυνθάνεσθαι, τίς εἴη, τὴν δὲ Πυθίαν εἰπεῖν·

ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

τὸν δὲ ἀκούσαντα περιίστασθαι μὲν τὴν εἰς Ἴον ἄφιξιν, διατρίβειν δὲ περὶ τὴν ἐκεῖ χώραν. κατὰ δὲ τὸν αὐτὸν χρόνον Γανύκτωρ ἐπιτάφιον τοῦ πατρὸς Ἀμφιδάμαντος βασιλέως Εὐβοίας ἐπιτελῶν πάντας τοὺς ἐπισήμους ἄνδρας οὐ μόνον ῥώμῃ καὶ τάχει, ἀλλὰ καὶ σοφίᾳ ἐπὶ τὸν ἀγῶνα μεγάλαις δωρεαῖς τιμῶν συνεκάλεσεν. καὶ οὗτοι οὖν ἐκ τύχης, ὥς φασι, συμβαλόντες ἀλλήλοις ἦλθον εἰς τὴν Χαλκίδα. τοῦ δὲ ἀγῶνος ἄλλοι τέ τινες τῶν ἐπισήμων Χαλκιδέων ἐκαθέζοντο κριταὶ καὶ μετ' αὐτῶν Πανήδης, ἀδελφὸς ὢν τοῦ τετελευτηκότος. ἀμφοτέρων δὲ τῶν ποιητῶν θαυμαστῶς ἀγωνισαμένων νικῆσαί φασι τὸν Ἡσίοδον τὸν τρόπον τοῦτον· προελθόντα γὰρ εἰς τὸ μέσον πυνθάνεσθαι τοῦ Ὁμήρου καθ' ἓν ἕκαστον, τὸν δὲ Ὅμηρον ἀποκρίνασθαι. φησὶν οὖν Ἡσίοδος·

υἱὲ Μέλητος, Ὅμηρε, θεῶν ἄπο μήδεα εἰδώς,
εἴπ' ἄγε μοι πάμπρωτα, τί φέρτατόν ἐστι βροτοῖσιν;

Ὅμηρος

ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι.

---

63 *παίδων* F Pausanias X 24, 2 Stephanus Byz. v. *Ἴος* Anth. Pal. XIV 65, *ἀνδρῶν* Pseudoplutarchus Vit. Hom. I 4 Proclus Chrest. (schol. Il. I p. XXXII D.) 66 *Γανύκτωρ* Pausanias, *γαννύκτωρ* F 73 *Πανήδης* ex papyri A col. I v. 4 (π)ΑΝΗΔΟΥ) rest. Kirchhoff; *πανοίδης* F, *Πανίδης* Tzetzes, *Πανείδης* Hermann 81 *ἀρχὴν* A (ΑΡ⟨χην) F Stobaeus CXX 3, *πάντων* Theognis 425 82 *ὅπως* A Theognis Stobaeus, *ὅμως* F

Ἡσίοδος τὸ δεύτερον·

εἴπ' ἄγε μοι καὶ τοῦτο, θεοῖς ἐπιείκελ' Ὅμηρε,
τί θνητοῖς κάλλιστον ὀίεαι ἐν φρεσὶν εἶναι;

ὁ δέ·

ὁππότ' ἂν εὐφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρεέων, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσιν.
τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

ῥηθέντων δὲ τούτων τῶν ἐπῶν, οὕτω σφοδρῶς φασι θαυμασθῆναι ὑπὸ τῶν Ἑλλήνων τοὺς στίχους ὥστε χρυσοῦς αὐτοὺς προσαγορευθῆναι, καὶ ἔτι καὶ νῦν ἐν ταῖς κοιναῖς θυσίαις πρὸ τῶν δείπνων καὶ σπονδῶν προκατεύχεσθαι πάντας. ὁ δὲ Ἡσίοδος ἀχθεσθεὶς ἐπὶ τῇ Ὁμήρου εὐημερίᾳ ἐπὶ τὴν τῶν ἀπόρων ὥρμησεν ἐπερώτησιν καί φησι τούσδε τοὺς στίχους·

Μοῦσά γέ μοι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
τῶν μὲν μηδὲν ἄειδε, σὺ δ' ἄλλης μνῆσαι ἀοιδῆς.

ὁ δὲ Ὅμηρος βουλόμενος ἀκολούθως τὸ ἄπορον λῦσαι φησίν·

---

85 *τί θν*>ΗΤΟΙΣΚΑΛ<*λιστον* A, cf. v. 92 et quae dixi Wien. St. XIV 141, *τί θνητοῖσιν ἄριστον* F   87 sq. cf. Hom. *ι* 5 sq. *κάτα* Nietzsche, *κατὰ* F   90 *κρεέων* scripsi, *κρειῶν* F Homeri codd.   92 *εἴδεται*] · · ·[C] ΕΤΑΙ A   93 *του*>ΤΩΝΤΩΝ A, *τῶν* F   94 *τους στι*>ΧΟΥ A, unde locum restitui, *τὰ ἔπη* F   98 *ἀπήρων* F, *ἀπό* apogr. Stephani in marg.   *ἐπ' ἐρώτησιν* F   100 cf. Theog. 31   *Μοῦσά γέ μοι* i. e. *ἀείδει*, ΜΟΥΣΑΓΕΜΟΙ A, *Μοῦσά γ' ἐμοὶ* Kirchhoff, *μοῦσ' ἄγε μοι* F, *Μοῦσ' ἅ γέ μοι* (i. e. *ἅ γέ μοι Μοῦσα ἀείδει, τά κτλ., τῶν μὲν μηδὲν ἄειδε*) Nietzsche, *Μοῦσα λέγει* Goettling   ΠΡΟΤΕ<*οντα* A, *τ' ἐόντα* evanidum F   101 ΜΗΘΕΝ A

οὐδέ ποτ' ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
ἅρματα συντρίψουσιν ἐρίζοντες περὶ νίκης.

καλῶς δὲ καὶ ἐν τούτοις ἀπαντήσαντος ἐπὶ τὰς ἀμφιβόλους γνώμας ὥρμησεν ὁ Ἡσίοδος, καὶ πλείονας στίχους λέγων ἠξίου καθ' ἕνα ἕκαστον συμφώνως ἀποκρίνασθαι τὸν Ὅμηρον. ἔστιν οὖν ὁ μὲν πρῶτος Ἡσιόδου, ὁ δὲ ἑξῆς Ὁμήρου, ἐνίοτε δὲ καὶ διὰ δύο στίχων τὴν ἐπερώτησιν ποιουμένου τοῦ Ἡσιόδου·

Ἡσίοδος

δεῖπνον ἔπειθ' εἵλοντο βοῶν κρέα καὐχένας ἵππων

Ὅμηρος

ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμοιο κορέσθην.

Ἡσίοδος

καὶ Φρύγες, οἳ πάντων ἀνδρῶν ἐπὶ νηυσὶν ἄριστοι

Ὅμηρος

ἀνδράσι ληιστῆρσιν ἐπ' ἀκτῆς δόρπον ἑλέσθαι.

Ἡσίοδος

χερσὶ βαλέων ἰοὺς οὔλων κατὰ φῦλα γιγάντων

Ὅμηρος

Ἡρακλέης ἀπέλυσεν ἀπ' ὤμων καμπύλα τόξα.

---

104 *τύμβῳ* F Plutarchus Mor. 153 f, TYMBON A (duplicem antiquitus lectionem extitisse suspicatus sum) *καναχήποδες ἵπποι* A (KAN⟨*αχηποδες ιπ*⟩ΠΟΙ) Plutarchus, verba interciderunt in F 105 *ἐρίζοντες* A (*ερι*⟩ZONTEC) F, *ἐπειγόμενοι* Plutarchus 112 sqq. *Ἡσίοδος* et *Ὅμηρος* indices om. F 112 *δεῖπνον — εἵλοντο*] *ὣς οἳ μὲν δαίνυντο* Aristophanes Pac. 1282 113 *πολέμοιο* Stephanus, *πτολέμου* F, *πολέμου* Aristophanes *κορέσθην* F, *κόρεσθεν* Hermann, (*πολέμου*) *ἐκόρεσθεν* Aristophanes 115 *ἐπ' ἀκτὴν δοῦλοι ἕπεσθαι?* Nietzsche 116 post 117 legitur in F, transposuit Nietzsche *βαλέων* Goettling, *βαλὼν* F *ἰοὺς* Nietzsche, *ἰοῖσιν* F *οὔλων* scripsi, *ὅλλων* F, *ὠμῶν?* Nietzsche 117 *ἡρακλῆς* F

Ἡσίοδος

οὗτος ἀνὴρ ἀνδρός τ' ἀγαθοῦ καὶ ἀνάλκιδός ἐστι

Ὅμηρος

μητρός, ἐπεὶ πόλεμος χαλεπὸς πάσῃσι γυναιξίν.

Ἡσίοδος

αὐτὰρ σοί γε πατὴρ ἐμίγη καὶ πότνια μήτηρ

Ὅμηρος

σῶμα τό γε σπείραντε διὰ χρυσέην Ἀφροδίτην.

Ἡσίοδος

αὐτὰρ ἐπεὶ δμήθη γάμῳ Ἄρτεμις ἰοχέαιρα

Ὅμηρος

Καλλιστὼ κατέπεφνεν ἀπ' ἀργυρέοιο βιοῖο.

Ἡσίοδος

ὣς οἳ μὲν δαίνυντο πανήμεροι, οὐδὲν ἔχοντες

Ὅμηρος

οἴκοθεν, ἀλλὰ παρεῖχεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

Ἡσίοδος

δεῖπνον δειπνήσαντες ἐνὶ σποδῷ αἰθαλοέσσῃ
σύλλεγον ὀστέα λευκὰ Διὸς κατατεθνηῶτος

Ὅμηρος

παιδὸς ὑπερθύμου Σαρπηδόνος ἀντιθέοιο.

Ἡσίοδος

ἡμεῖς δ' ἂμ πεδίον Σιμοέντιον ἥμενοι αὔτως
ἴομεν ἐκ νηῶν ὁδὸν ἀμφ' ὤμοισιν ἔχοντες

---

120 *αὐτὰρ* Ludwich, *οὔτ' ἆρ* F, *οὔτ' ἄρα* Goettling, *εὖτ' ἄρα* (*σοί* 'nomin. plur.') idem dubitans, *ἤ τ' ἄρα* Hermann *ἐμίγη* F, (*εὖτ' ἄρα σοὶ*) *ἔμιγεν* Goettling 121 *τόγε* (vel *τόδε*) *σπείραντε* Boissonade; *τό γ' ἐσπείραντο* F, *τότε σπείραντε* Hermann, *τόδε σπείραντο* Goettling *χρυσῆν* F 123 *βιοι* F 127 *κατατεθνειῶτος* F, corr. Goettling 129 *σιμοούντιον* F *αὔτως* Westermann, *οὔτως* F

Ὅμηρος

φάσγανα κωπήεντα καὶ αἰγανέας δολιχαύλους.

Ἡσίοδος

δὴ τότ' ἀριστῆες κοῦροι χείρεσσι θαλάσσης

Ὅμηρος

ἄσμενοι ἐσσυμένως τε ἀπείρυσαν ὠκύαλον ναῦν.

Ἡσίοδος

Κολχίδ' ἔπειτ' ἤγοντο καὶ Αἰήτην βασιλῆα

Ὅμηρος

φεῦγον, ἐπεὶ γίγνωσκον ἀνέστιον ἠδ' ἀθέμιστον.

Ἡσίοδος

αὐτὰρ ἐπεὶ σπεῖσάν τε καὶ ἔκπιον οἶδμα θαλάσσης

Ὅμηρος

ποντοπορεῖν ἤμελλον ἐυσσέλμων ἐπὶ νηῶν.

Ἡσίοδος

τοῖσιν δ' Ἀτρεΐδης μεγάλ' εὔχετο πᾶσιν ὀλέσθαι
μηδέ ποτ' ἐν πόντῳ, καὶ φωνήσας ἔπος ηὔδα·
ἐσθίετ', ὦ ξεῖνοι, καὶ πίνετε· μηδέ τις ὑμέων
οἴκαδε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν

Ὅμηρος

πημανθείς, ἀλλ' αὖτις ἀπήμονες οἴκαδ' ἵκοισθε.

πρὸς πάντα δὲ τοῦ Ὁμήρου καλῶς ἀπαντήσαντος πάλιν φησὶν ὁ Ἡσίοδος·

---

132 ἀριστή F, corr. apogr. Stephani 133 τε ἀπείρυσαν F, τ' ἀποείρυσαν Barnes ναῦν F, νηῦν vel νέα restituendum esse censui 134 sq. ἐπεί θ' ἵκοντο scribens inter se transposuit Nietzsche 134 ἔπειτ' ἤγοντο (Μήδειαν) Wilamowitz, ἔπειθ' ἵκοντο F 137 ἐυσέλμων F 138 τοῖσι F 140 ὑμῶν F 138 sq. Hesiodo, 140—142 Homero tribuit Hermann, v. 138, 140 sq. Hesiodo, 139 Homero Goettling 142 αὖθις F 143 ταῦτα δὲ πάντα Barnes

τοῦτό τι δή μοι μοῦνον ἐειρομένῳ κατάλεξον,
πόσσοι ἅμ' Ἀτρεΐδῃσιν ἐς Ἴλιον ἦλθον Ἀχαιοί;

ὁ δὲ διὰ λογιστικοῦ προβλήματος ἀποκρίνεται οὕτως·

πεντήκοντ' ἦσαν πυρὸς ἐσχάραι, ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

τοῦτο δὲ εὑρίσκεται πλῆθος ἄπιστον· τῶν γὰρ ἐσχαρῶν οὐσῶν πεντήκοντα, ὀβελίσκοι γίνονται πεντακόσιοι καὶ χιλιάδες β', κρεῶν δὲ δεκαδύο μυριάδες, ͵ε . . . κατὰ πάντα δὴ τοῦ Ὁμήρου ὑπερτεροῦντος φθονῶν ὁ Ἡσίοδος ἄρχεται πάλιν·

υἱὲ Μέλητος Ὅμηρ', εἴ περ τιμῶσί σε Μοῦσαι,
ὡς λόγος, ὑψίστοιο Διὸς μεγάλοιο θύγατρες,
λέξον μέτρον ἐναρμόζων, ὅ τι δὴ θνητοῖσι
κάλλιστόν τε καὶ ἔχθιστον· ποθέω γὰρ ἀκοῦσαι.

ὁ δέ φησι·

Ἡσίοδ', ἔκγονε Δίου, ἑκόντα με ταῦτα κελεύεις
εἰπέμεν· αὐτὰρ ἐγὼ μάλα τοι πρόφρων ἀγορεύσω.
κάλλιστον μὲν τῶν ἀγαθῶν ἔσται μέτρον εἶναι
αὐτὸν ἑαυτῷ· τῶν δὲ κακῶν ἔχθιστον ἁπάντων

* * * *

147 *ὁ δὲ Ὅμηρος* Barnes   153 post *μυριάδες* in F *εὐ̄ν* legitur; *ε* lacunae signo adiecto Westermann, *πεντακισχίλιοι τετρακόσιοι καὶ πεντήκοντα* Barnes, *ἀνδρῶν δὲ διπλῆ μυριὰς μία καὶ ἁπλαῖ χίλιαι διακόσιαι πεντήκοντα* Hermann, *ἀνδρῶν* vel *Ἀχαιῶν δὲ μυριάδες ͵ια σν'* Westermann; *εὐ* in *ευν* latere ratus *εὐ δὴ κατὰ πάντα* coniecit Nietzsche   157 *ὑψίστοι* F, corr. apogr. Stephani   158 *μέτρῳ* Barnes   *ἐναρμόζον* F, corr. Boissonade   159 *τε* om. F   *ποθέω*] *θέω* F, corr. marg. apogr. Stephani   162 *εἰπέμεν* Barnes, *εἰπεῖν* F   164 *ἔχθιστ°* F   post 164 deest versus, lacunae signum posuit Nietzsche

ἄλλο δὲ πᾶν, ὅ τι σῷ θυμῷ φίλον ἐστίν, ἐρώτα.

Ἡσίοδος

πῶς ἂν ἄριστ' οἰκοῖντο πόλεις καὶ ἐν ἤθεσι ποίοις;

Ὅμηρος

εἰ μὴ κερδαίνειν ἀπὸ τῶν αἰσχρῶν ἐθέλοιεν,
οἱ δ' ἀγαθοὶ τιμῷντο, δίκη δ' ἀδίκοισιν ἐπείη.

Ἡσίοδος

εὔχεσθαι δὲ θεοῖσι τί πάντων ἐστὶν ἄμεινον;

Ὅμηρος

εὔνομον εἶναι ἑῷ θυμῷ χρόνον ἐς τὸν ἅπαντα.

Ἡσίοδος

ἐν δ' ἐλαχίστῳ ἄριστον ἔχεις ὅ τι φύεται εἰπεῖν;

Ὅμηρος

ὡς μὲν ἐμῇ γνώμῃ, φρένες ἐσθλαὶ σώμασιν ἀνδρῶν.

Ἡσίοδος

ἡ δὲ δικαιοσύνη τε καὶ ἀνδρείη δύναται τί;

Ὅμηρος

κοινὰς ὠφελίας ἰδίοις μόχθοισι πορίζειν.

Ἡσίοδος

τῆς σοφίης δὲ τί τέκμαρ ἐπ' ἀνθρώποισι πέφυκεν;

Ὅμηρος

γιγνώσκειν τὰ παρόντ' ὀρθῶς, καιρῷ δ' ἅμ' ἕπεσθαι.

---

165 *τῷ* Boissonade 168 *τιμοῖντο* F 169 *θεοῖσι τί* Rohde, *θεοῖς ὅτι* F 170 *εὔνομον* conieci, *εὔνουν* F, *εὔνους* Nietzche *ἑῷ θυμῷ* (de deorum animis intellegens) Nietzsche, de homine accipio; *ἑαυτῷ* F 171 *ἔχεις* Hutchinson, *ἔχειν σ'* F 172 *ἐμὴ γνώμη* malit Westermann 173 *ἀνδρία* F 174 *ὠφελείας* F, corr. marg. apographi 176 *γινώσκειν* F

Ἡσίοδος

πιστεῦσαι δὲ βροτοῖς ποῖον χρέος ἄξιόν ἐστιν;

Ὅμηρος

οἷς αὐτὸς κίνδυνος ἐπὶ πραχθεῖσιν ἕπηται.

Ἡσίοδος

ἡ δ' εὐδαιμονίη τί ποτ' ἀνθρώποισι καλεῖται;

Ὅμηρος

λυπηθέντ' ἐλάχιστα θανεῖν ἡσθέντα τε πλεῖστα.

ῥηθέντων δὲ καὶ τούτων, οἱ μὲν Ἕλληνες πάντες τὸν Ὅμηρον ἐκέλευον στεφανοῦν, ὁ δὲ βασιλεὺς Πανήδης ἐκέλευσεν ἕκαστον τὸ κάλλιστον ἐκ τῶν ἰδίων ποιημάτων εἰπεῖν. Ἡσίοδος οὖν ἔφη πρῶτος·

Πληιάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμήτου, ἀρότοιό τε δυσομενάων·
αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα
πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν
γυμνόν τ' ἀμάειν, ὅτ' ἂν ὥρια πάντα πέλωνται.

---

177 βροτοῖσι F, corr. Barnes βροτῶν ποίοις suspicatur Nietzsche 178 αὐτὸς] οὔ τις Nietzsche 180 τε om. F 182 Πανήδης cf. ad 73; πανοίδης F, Πανείδης Hermann 186 ἀμητοῖο F, an ἀμήτοι'? τε] δὲ Hes. Op. 384 188 αὖθις F 191 τ' ἄγκεα Hes. Op. 391, δ' ἄγγεα F 193 ναίουσι F 194 γυμνούσ θ' ἀμάειν F, γυμνὸν δ' ἀμάειν Hes. Op. 392 εἴ χ' ὥρια πάντ' ἐθέλησθα | ἔργα κομίζεσθαι Δημήτερος Hes. Op. 392 sq.

μεθ' ὃν Ὅμηρος·

*ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
οὔτε κ' Ἀθηναίη λαοσσόος. οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ,
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
ἔφριξεν δὲ μάχη φθεισίμβροτος ἐγχείῃσι
μακραῖς, ἃς εἶχον ταμεσίχροας. ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κεν θρασυκάρδιος εἴη,
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.*

θαυμάσαντες δὲ καὶ ἐν τούτῳ τὸν Ὅμηρον οἱ Ἕλληνες ἐπῄνουν, ὡς παρὰ τὸ προσῆκον γεγονότων τῶν ἐπῶν, καὶ ἐκέλευον διδόναι τὴν νίκην. ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνωσεν εἰπὼν δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον νικᾶν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα. τῆς μὲν οὖν νίκης οὕτω φασὶ τυχεῖν τὸν Ἡσίοδον καὶ λαβόντα τρίποδα χαλκοῦν ἀναθεῖναι ταῖς Μούσαις ἐπιγράψαντα·

*Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.*

τοῦ δὲ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος

196—209 ex Hom. *N* 126—133 et 339—344   199 *κριθέντες* F   201 *ἀσπὶς δ' ἄρ'* F   204 *φθισίμβροτος* F   205 *μακραῖς* F, *μακρῇς* Hom. *N* 340   218 *Μούσῃς* suspicatus sum   *ἀνέθηκα* Anth. Pal. VII 53, cf. Hes. Op. 658

εἰς Δελφοὺς χρησόμενος καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. προσερχομένου δὲ αὐτοῦ τῷ ναῷ ἔνθεον γενομένην τὴν προφῆτίν φασιν εἰπεῖν·

ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσιν·
τοῦ δ' ἦ τοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς.
ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

ὁ δὲ Ἡσίοδος ἀκούσας τοῦ χρησμοῦ, τῆς Πελοποννήσου μὲν ἀνεχώρει νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν, εἰς δὲ Οἰνόην τῆς Λοκρίδος ἐλθὼν καταλύει παρ' Ἀμφιφάνει καὶ Γανύκτορι, τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον. ὁ γὰρ τόπος οὗτος ἅπας ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. διατριβῆς δὲ αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνοεῦσιν ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον, ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Ἀχαΐας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος ἑορτῆς τινος ἐπιχωρίου παρ' αὐτοῖς οὔσης Ἀριαδνείας πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον καὶ τὸ σῶμα γνωρίσαντες ἐκεῖνο μὲν πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν.

---

225 *Μούσαις τετιμημένος* Tzetzae Vit. Hes. 96 codd. pars 226 *ὅσην* F 227 *κάλλιμον* F (μ e ς corr.) 228 *κεῖθι δέ τοι* F, *'κεῖ γάρ τοι* cod. P Tzetzae (quod in *κεῖ γάρ τοι* mutavit Westermann), *καὶ γάρ τοι* codd. cett. Tzetzae 231 *Οἰνεῶνα* Westermann *παρὰ* F 234 *νεμίου* F *δὲ*] *δ'* F 235 *Οἰνοεῦσιν* Friedel, *Οἰνεωνεῖσιν* Sauppe, *οἰνῶσιν* F, *Οἰνεῶσιν* Goettling, *ἐν τῷ Οἰνεῶνι* Westermann 237 *Ἀχαΐας* Westermann, *Εὐβοίας* F Tzetzes Vita Hes. 106, *Μολυκρίας* Goettling, *Βοιωτίας* Nietzsche, *τῆς Βολίνας* (vel *Εὐπαλίας*) *καὶ τῆς Μολυκρίας* primitus scriptum fuisse censuit Nietzsche 240 *Ἀριαδνείας* sine accentu F, *'Ρίου ἁγνείας* Nietzsche

οἱ δὲ φοβηθέντες τὴν τῶν πολιτῶν ὀργὴν κατασπάσαντες ἁλιευτικὸν σκάφος διέπλευσαν εἰς Κρήτην. οὓς κατὰ μέσον τὸν πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φησιν Ἀλκιδάμας ἐν Μουσείῳ. Ἐρατοσθένης δέ φησιν ἐν Ἡσιόδῳ Κτίμενον καὶ Ἄντιφον τοὺς Γανύκτορος ἐπὶ τῇ προειρημένῃ αἰτίᾳ ἐναλόντας σφαγιασθῆναι θεοῖς ⟨τοῖς⟩ ξενίοις ὑπ' Εὐρυκλέους τοῦ μάντεως. τὴν μέντοι παρθένον, τὴν ἀδελφὴν τῶν προειρημένων, μετὰ τὴν φθορὰν ἑαυτὴν ἀναρτῆσαι, φθαρῆναι δὲ ὑπό τινος ξένου συνόδου τοῦ Ἡσιόδου δημώδους, ⟨Τρωίλου⟩ ὄνομα· ὃν καὶ αὐτὸν ἀναιρεθῆναι ὑπὸ τῶν αὐτῶν φησιν. ὕστερον δὲ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ' αὐτοῖς ἔθαψαν καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ·

Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος
  ὀστέα πλήξιππος γῆ Μινυὰς κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
  ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

καὶ περὶ μὲν Ἡσιόδου τοσαῦτα· ὁ δὲ Ὅμηρος ἀποτυχὼν τῆς νίκης περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ͵ζ, ἧς ἡ ἀρχή·

Ἄργος ἄειδε, θεά, πολυδίψιον, ἔνθεν ἄνακτες·

---

247 Ἡσιόδῳ Goettling, ἐνηπόδω F 248 γαννύκτορος F ἐναλόντας Friedel, ἀνελόντας F 249 ⟨τοῖς⟩ Bernhardy, om. F ὑπὸ F 253 δημώδους ⟨Τρωίλου⟩] coll. Plutarch. Mor. p. 162 d Nietzsche, δημώδους F, Δημωνίδου Sittl 258 πλήξιππος — Μινυὰς scripsi, πληξίππων γῆ Μινυὰς F Pseudaristoteles Pepl. 19, πληξίππου γῆ Μινύη Tzetzes Vita Hes., πληξίππων γῆ Μινυῶν Pausanias IX 38, 4 Anthol. Pal. VII 54, 2 259 ἐν — ἐστὶν F Anthologia Tzetzes, ἐν Ἑλλάδι κῦδος ὀρεῖται Pausanias 260 βασάνοις Tzetzes 263 ͵ζ Hermann, ζ̄ F

εἶτα Ἐπιγόνους, ἔπη ͵ζ, ὧν ἡ ἀρχή·

νῦν αὖϑ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεϑα, Μοῦσαι.

φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. ἀκούσαντες δὲ τῶν ἐπῶν οἱ Μίδου τοῦ βασιλέως παῖδες, Ξάνϑος καὶ Γόργος, παρακαλοῦσιν αὐτὸν ἐπίγραμμα ποιῆσαι ἐπὶ τοῦ τάφου τοῦ πατρὸς αὐτῶν, ἐφ' οὗ ἦν παρϑένος χαλκῆ τὸν Μίδου ϑάνατον οἰκτιζομένη. καὶ ποιεῖ οὕτως·

χαλκέη παρϑένος εἰμί, Μίδεω δ' ἐπὶ σήματος ἧμαι.
ἔς τ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεϑήλῃ
καὶ ποταμοὶ πλήϑωσι, περικλύζῃ δὲ ϑάλασσα,
ἠέλιος δ' ἀνιὼν φαίνῃ λαμπρά τε σελήνη,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
σημανέω παριοῦσι, Μίδης ὅτι τῇδε τέϑαπται.

---

265 Ἐπιγόνους Barnes, ἐπειγομένου F   ͵ζ Hermann, ζ̄ F   271. 272 καὶ ποιεῖ οὕτως in marg. habet F   273 χαλκῆ F scriptores cett.   Μίδεω Pseudoherodoti Vitae Hom. p. 5 W. cod. B, Μίδου F Pseudoherodoti codd. ceteri Philoponus in Aristot. Anal. post. 34 b, Μίδα Plato Phaedr. p. 264 C Laert. Diogenes I 6, 89 Incert. auctor or. Cor. ('Dio') XXXVII 38 Anthologia   ἐπὶ σήματος ἧμαι F, ἐπὶ σήματι κεῖμαι scriptores cett.   274 ἔς τ' F Incert. auctor or. Cor. Pseudoherodoti Vita Hom. Laertius Diogenes Anth. Pal. auctor περὶ ὕψ. 36, 2, εὖτ' Anth. Plan., ὄφρ' Plato Libanius I 519, 17 R.   νάῃ F Plato Sextus Empir. Pyrrh. II 37 Libanius Anth., ῥέῃ Incert. auctoris or. Cor. codd. (νάῃ Emperius) Laertius Diogenes Pseudoher. Vita Hom. (ῥέοι pars codd.) auctor περὶ ὕψ. Sextus Empir. adv. math. VIII 184   τεϑήλοι Pseudoherodoti Vitae codd. pars maior   275 sq. om. Plato Incert. auctor or. Cor. Anth., inverso ordine dispositos habet Laertius Diogenes   275 om. Pseudoher. Vita   πλήϑωσι] ῥέωσιν Laertii Diogenis codd. PB (ῥείωσιν Röper)   ἀνακλύζῃ Laertius Diogenes   276 φαίνῃ F, λάμπῃ scriptores cett.   λαμπρή Goettling, sed. cf. ad Theog. 19   277 πολυκλαύτῳ ἐπὶ τύμβῳ F Incert. auctor or. Cor. Anth. Pal. Laertii Diogenis codd. PB Suidas v. αὐτοῦ, πολυκλαύστῳ ἐπὶ τύμβῳ Anth. Plan., πολυκλαύτου ἐπὶ τύμβου Plato Pseudoher. Vita   278 σημανέω F, ἀγγελέω scriptores cett.

λαβὼν δὲ παρ' αὐτῶν φιάλην ἀργυρᾶν ἀνατίθησιν ἐν Δελφοῖς τῷ Ἀπόλλωνι, ἐπιγράψας·

Φοῖβε ἄναξ, δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις· σὺ δέ μοι κλέος αἰὲν ὀπάζοις.

μετὰ δὲ ταῦτα ποιεῖ τὴν Ὀδύσσειαν, ἔπη Μ͵β', πεποιηκὼς ἤδη τὴν Ἰλιάδα ἐπῶν Μ͵εφ'. παραγενόμενον δὲ ἐκεῖθεν εἰς Ἀθήνας αὐτὸν ξενισθῆναί φασι παρὰ Μέδοντι τῷ βασιλεῖ τῶν Ἀθηναίων. ἐν δὲ τῷ βουλευτηρίῳ ψύχους ὄντος καὶ πυρὸς καιομένου σχεδιάσαι λέγεται τούσδε τοὺς στίχους·

ἀνδρὸς μὲν στέφανοι παῖδες, πύργοι δὲ πόληος,
ἵπποι δ' αὖ πεδίου κόσμος, νῆες δὲ θαλάσσης,
⟨χρήματα δ' οἶκον ἀέξει· ἀτὰρ γεραροὶ βασιλῆες⟩
λαοῖς εἰν ἀγορῇσι καθήμενοι εἰσοράασθαι.
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι
ἤματι χειμερίῳ, ὁπότ' ἂν νείφῃσι Κρονίων.

ἐκεῖθεν δὲ παραγενόμενος εἰς Κόρινθον, ἐρραψῴδει τὰ ποιήματα. τιμηθεὶς δὲ μεγάλως παραγίνεται εἰς Ἄργος καὶ λέγει ἐκ τῆς Ἰλιάδος τὰ ἔπη τάδε·

---

281 τόδ' Barnes ἑλὼν τόδ' Ὅμηρος Tzetzes 282 σῇσιν ἐπιφροσύνῃς Menrad, σῆς ὑποφραδμοσύναις Barnes αἰὲν] ἐσθλὸν Tzetzes 283 Μ͵β' Nietzsche, μβφ (β m¹ ex ι corr.?) F 284 Μ͵εφ' Nietzsche, με F 289 στέφανοι παῖδες F, στέφανος παῖδες Pseudoher. Vita p. 15 W., παῖδες στέφανος Suidas 290 δ' ἐν πεδίῳ Pseudoher. Vita Suidas; post hunc versum aliquid excidisse e Pseudoher. Vita Hom. p. 16 W. vidit Barnes; e Vitae versibus χρήματα δ' αὔξει οἶκον, ἀτὰρ γεραροὶ βασιλῆες | ἥμενοι εἰν ἀγορῇ κόσμος λαοῖσιν (sic Nietzsche pro 'κόσμος τ' ἄλλοισιν') ὁρᾶσθαι Nietzsche versum huius modi composuit: ϑήματα δ' αὔξει οἶκον, ἀτὰρ γεραροὶ (sive κόσμος) βασιλῆες; οἶκον ἀέξει volgo legebatur 292 λαοῖς Nietzsche, λαὸς δ' F καθήμενοι rest. Nietzsche, καθήμενος F 294 νίφῃσι F

οἳ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν
Ἑρμιόνην τ' Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν' Ἠιόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον
νῆσόν τ' Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν,
τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
Τυδεΐδης, οὗ πατρὸς ἔχων μένος Οἰνεΐδαο,
καὶ Σθένελος, Καπανῆος ἀγακλειτοῦ φίλος υἱός·
τοῖσι δ' ἅμ' Εὐρύπυλος τρίτατος κίεν, ἰσόθεος φώς,
Μηκιστέος υἱὸς Ταλαϊονίδαο ἄνακτος.
ἐκ πάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης.
τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο·
ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο
Ἀργέιοι λινοθώρηκες, κέντρα πτολέμοιο.

τῶν δὲ Ἀργείων οἱ προεστηκότες ὑπερβολῇ χαρέντες ἐπὶ τῷ ἐγκωμιάζεσθαι τὸ γένος αὐτῶν ὑπὸ τοῦ ἐνδοξοτάτου τῶν ποιητῶν, αὐτὸν μὲν πολυτελέσι δωρεαῖς ἐτίμησαν, εἰκόνα δὲ χαλκῆν ἀναστήσαντες ἐψηφίσαντο θυσίαν ἐπιτελεῖν Ὁμήρῳ καθ' ἡμέραν καὶ κατὰ μῆνα καὶ κατ' ἐνιαυτὸν ⟨καὶ⟩ ἄλλην θυσίαν πενταετηρίδα εἰς Χίον ἀποστέλλειν. ἐπιγράφουσι δὲ ἐπὶ τῆς εἰκόνος αὐτοῦ·

θεῖος Ὅμηρος ὅδ' ἐστίν, ὃς Ἑλλάδα τὴν μεγάλαυχον
πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ,

299 τ' om. Hom. *B* 560 ἀσί///ην (ν erasum) F 301 νῆσόν τ'] οἵ τ' ἔχον Hom. *B* 562, sed cf. Fr. 96, 7 Strabo VIII 375, 16 Αἴγιναν Hom. l. c., αἴγινάν τε F 303 non legitur in Homero (post *B* 563) 305 Εὐρύαλος ex Hom. *B* 565 Barnes 306 Μηκιστέος dedi ex Hom. *B* 566, μηκιστέως F 307 συμπάντων Hom. *B* 567 309 sq. non reperiuntur in Hom. 316 ⟨καὶ⟩ ἄλλην (vel ἄλλην ⟨δὲ⟩) Boissonade, καὶ om. F 317 ἐσχίον F εἰκόνος] εἰκό F 319 μεγάλαυχον Barnes, μεγαλαύχην F 320 καλλιεπεῖ σοφίῃ Stephanus in marg. apographi, καλλιεπίηι σοφίηι τε F

ἔξοχα δ' Ἀργείους, οἳ τὴν θεοτειχέα Τροίην
 ἤρειψαν ποινὴν ἠυκόμου Ἑλένης.
οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν
 ἐνθάδε καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

ἐνδιατρίψας δὲ τῇ πόλει χρόνον τινὰ διέπλευσεν εἰς Δῆλον εἰς τὴν πανήγυριν. καὶ σταθεὶς ἐπὶ τὸν κεράτινον βωμὸν λέγει ὕμνον εἰς Ἀπόλλωνα, οὗ ἡ ἀρχή·

μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.

ῥηθέντος δὲ τοῦ ὕμνου οἱ μὲν Ἴωνες πολίτην αὐτὸν κοινὸν ἐποιήσαντο, Δήλιοι δὲ γράψαντες τὰ ἔπη εἰς λεύκωμα ἀνέθηκαν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. τῆς δὲ πανηγύρεως λυθείσης ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον κἀκεῖ χρόνον διέτριβε πρεσβύτης ὢν ἤδη. ἐπὶ δὲ τῆς θαλάσσης καθήμενος παίδων τινῶν ἀφ' ἁλείας ἐρχομένων, ὥς φασι, πυθόμενος

ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἦ ῥ' ἔχομέν τι;

εἰπόντων δὲ ἐκείνων·

ὅσσ' ἕλομεν λιπόμεσθα, ὅσ' οὐχ ἕλομεν φερόμεσθα,

---

322 ποινὴν Barnes, ποινῆς F 323 ἔστησε F μεγαλόπολις F, πτ superscr. in apographo Stephani 326 κερατίνον F 333 κρεόφυλον F 336 ἀπ' Ἀρκαδίης F testes, ἀπ' Ὀρτυγίης? ἄγρης ἁλίης Koechly θηρήτορες F Proclus, ἁλιήτορες Vitae Hom. IV p. 28 W. et V p. 30 W. Tzetzes Exeg. Iliad. 37, 18 ἦρ' ἔχομέν τι F, ἆρ' ἔχομέν τι Proclus Chrest. I p. XXXII 22 D. 338 ὅσσ' Pseudoherodoti Vita p. 18 W. Suidas v. Ὅμηρος, οὓς Proclus Vitae IV. codd. MR λιπόμεσθα, ὅσ' οὐχ Vitae V. codd. CM, λ⟩ιπόμεσθα, ὅσσ' οὐκ Epigr. ed. Kaibel 1105, λιπόμεθα, ὅσ' οὐχ F, λιπόμεσθα, ἃ δ' οὐχ Pseudoherodoti Vita Suidas, λιπόμεσθα, ὅσα δ' οὐχ Vita Hom. codicis Romani bibl. Vict. Em. gr. 6 et Vitae V. Homeri codd. pars, λιπόμεσθ', ὅσσ' οὐχ Pseudoplutarchi Vita B., λιπόμεσθ', οὓς δ' οὐχ Proclus φερόμεθα F Vitae V. codd. CM

οὐ νοήσας τὸ λεχθέν, ἤρετο αὐτοὺς ὅ τι λέγοιεν. οἱ δέ φασιν ἐν ἁλείᾳ μὲν ἀγρεῦσαι μηδέν, ἐφθειρίσθαι δέ, καὶ τῶν φθειρῶν οὓς ἔλαβον καταλιπεῖν, οὓς δὲ οὐκ ἔλαβον ἐν τοῖς ἱματίοις φέρειν. ἀναμνησθεὶς δὲ τοῦ μαντείου, ὅτι τὸ τέλος αὐτοῦ ἥκοι τοῦ βίου, ποιεῖ τὸ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα. ἀναχωρῶν δὲ ἐκεῖθεν, ὄντος πηλοῦ ὀλισθὼν καὶ πεσὼν ἐπὶ τὴν πλευράν, τριταῖος ὥς φασι τελευτᾷ· καὶ ἐτάφη ἐν Ἴῳ. ἔστι δὲ τὸ ἐπίγραμμα τόδε·

ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
  ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

---

342 sq. δὲ τοῦ] δ' ἐκ τοῦ malit Westermann 343 αὐτῷ malit Westermann 344 αὐτοῦ F 348 κάλυψεν Pseudoherodotus Vita Hom. p. 19 W.

INDEX NOMINUM

Stellulis ornata sunt nomina e coniectura in textum recepta; ea, quae corrupta esse videbantur, uncis ( ) inclusi. Th. = Theogonia, O. = Opera et Dies, S. = Scutum, Fr. = Fragmenta, v. l. = varia lectio

ADDENDUM

Scut. 212 *ε*⟩ΦΟΙΝΕΟΝ lectionem papyri Q ex *ἐφοί*⟨*κ*⟩*νεον* = *ἐποίχνεον* adspiratione mutata natam esse suspicatur C. Liter. Centralbl. 1907, 443

Fragm. 96, 94 init. *οἶο*⟩*ς̣* scribendum esse censet Klouček; an *πάμπα*⟩*ν̣*?